# ΑΚΟΛΟΥΘΙΑΙ

## ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΤΕΤΑΡΤΗΣ ΣΥΝΟΔΟΥ,

## ΤΗΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΕΥΦΗΜΙΑΣ ΤΗΣ ΚΥΡΩΣΑΣΗΣ ΤΗΝ ΣΥΝΟΔΟΝ

## ΚΑΙ
## ΤΟΥ ΟΣΙΟΥ ΝΙΚΟΔΗΜΟΥ ΤΟΥ ΗΣΥΧΑΣΤΟΥ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ

**Αἵ τινες συμψάλλονται τῇ ΙΑ΄ Ἰουλίου**



ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ

**Τῇ 11ῃ τοῦ μηνὸς Ἰουλίου μνήμη**

**τῶν ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων τῆς Ἁγίας καὶ Οἰκουμενικῆς Δ΄ Συνόδου**

**καὶ τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας, ὅτε τὸν ὅρον τῆς Συνόδου ἐκύρωσεν·**

**ἔτι δὲ μνήμη τοῦ Ὁσίου Νικοδήμου τοῦ Ἡσυχαστοῦ καὶ διδασκάλου τοῦ Ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ.**



## ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

**Εἰ τύχοι ἡ ια΄ Ἰουλίου ἐν ἡμέρᾳ Κυριακῇ,** *ὁ Κανὼν καὶ τὰ Προσόμοια τῶν Πατέρων τῆς Δ΄ Συνόδου τίθενται εἰς τὸ Ἀπόδειπνον καὶ συμψάλλονται μόναι αἱ Ἀκολουθίαι τῆς Μεγαλομάρτυρος καὶ τοῦ Ὁσίου μετὰ τῶν Ἀναστασίμων, ὡς ἑξῆς:*

*Εἰς τὸν Ἑσπερινόν, ἀναγινώσκεται α΄ Κάθισμα τοῦ Ψαλτηρίου ὅλον. Εἰς τὸ «Κύριε Ἐκέκραξα» ἱστῶμεν στίχους δέκα: δ΄ Ἀναστάσιμα, γ΄ τῆς Μεγαλομάρτυρος καὶ γ΄ τοῦ Ὁσίου. Δόξα, τῆς Μεγαλομάρτυρος. Καὶ νῦν· τὸ Δογματικὸν τοῦ τυχόντος ἤχου. Εἴσοδος καὶ τὸ Προκείμενον «Ὁ Κύριος ἐβασίλευσεν...». Εἰς τὰ Ἀπόστιχα τὰ Ἀναστάσιμα Στιχηρὰ τοῦ τυχόντος ἤχου. Δόξα, τοῦ Ὁσίου· Καὶ νῦν, Θεοτοκίον τῆς ὀκτωήχου. Ἀπολυτίκια: Ἀναστάσιμον, τῆς Μεγαλομάρτυρος, Δόξα· τοῦ Ὁσίου. Καὶ νῦν· Θεοτοκίον.*

*Εἰς τὸ Θεὸς Κύριος τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν. Καθίσματα εἰς τὴν α΄ Στιχολογίαν πάντα τὰ Ἀναστάσιμα. Εἰς τὴν β΄ Στιχολογίαν τὰ Καθίσματα τῶν Ἁγίων (β΄ στιχολογίας). Μετὰ τὸν Ἄμωμον εὐθὺς τὰ Εὐλογητάρια· εἶτα ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ τυχόντος ἤχου καὶ τὰ λοιπὰ ὡς συνήθως τῆς Κυριακῆς. Κανόνες: ὁ Ἀναστάσιμος μετὰ τῆς Θεοτόκου εἰς ϛ΄, τῆς Μεγαλομάρτυρος εἰς δ΄ καὶ τοῦ Ὁσίου εἰς δ΄. Καταβασίαι: «Ἀνοίξω τὸ στόμα μου». Ἀπὸ γ΄ ᾠδῆς: Κοντάκιον Ἀναστάσιμον καὶ τῆς Μεγαλομάρτυρος μετὰ τοῦ Οἴκου (χύμα). Εἶτα Καθίσματα: Τῆς Μεγαλομάρτυρος καὶ τοῦ Ὁσίου, ὡς ἔχουν ἐν τῇ φυλλάδι. Ἀφ᾽ ϛ΄ ᾠδῆς Κοντάκιον καὶ Οἶκον τοῦ Ὁσίου. Μετὰ τό, «Ἅγιος Κύριος, ὁ Θεὸς ἡμῶν...», Ἐξαποστειλάριον Ἀναστάσιμον, τοῦ τυχόντος ἑωθινοῦ. Εἶτα, τὰ Ἐξαποστειλάρια: Τῆς Μεγαλομάρτυρος καὶ τοῦ Ὁσίου, ὡς ἔχουν ἐν τῇ φυλλάδι. Εἰς τοὺς Αἴνους: β΄ Ἀναστάσιμα, καὶ γ΄ τῆς Μεγαλομάρτυρος καὶ γ΄ τοῦ Ὁσίου (μετὰ τοῦ Δοξαστικοῦ αὐτοῦ εἰς τὸν ἔσχατον στίχον). Δόξα, τὸ τυχὸν Ἑωθινόν. Καὶ νῦν, Ὑπερευλογημένη. Δοξολογία Μεγάλη, καὶ μετ᾽ αὐτὴν τὸ Ἀναστάσιμον Τροπάριον.*

*Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ εἰς ιβ΄: Ἀναστάσιμα τοῦ ἤχου εἰς δ΄, τῆς Μεγαλομάρτυρος ἡ γ΄ ᾠδὴ εἰς δ΄ καὶ τοῦ Ὁσίου ἡ ϛ΄ εἰς δ΄ (βλ. εἰς τὸ τέλος τῆς φυλλάδος). Ἀπολυτίκια: Ἀναστάσιμον δίς, τῆς Μεγαλομάρτυρος, τοῦ Ὁσίου, καὶ τὰ λοιπὰ συνήθη· Εἶτα· Ὑπακοή, Κοντάκια τῆς Μεγαλομάρτυρος καὶ τοῦ Ὁσίου· καὶ τέλος «Τῇ Ὑπερμάχῳ». Προκείμενον καὶ Ἀλληλούϊα τοῦ ἤχου τῆς Κυριακῆς. Ἀποστολοευαγγέλιον Κυριακῆς καὶ τοῦ Ὁσίου. Κοινωνικόν: «Αἰνεῖτε τὸν Κύριον...» καὶ «Εἰς μνημόσυνον...». Εἰς τὴν εὐλόγησιν τῶν Κολλύβων Ἀπολυτίκιον τῆς Μεγαλομάρτυρος, Κοντάκιον τοῦ Ὁσίου καὶ «Τῇ πρεσβείᾳ Κύριε». Εἰς τὴν Τράπεζαν τὰ Ἀναστάσιμα.*

*Σημειωτέον ὅτι ἀφ᾽ ἑσπέρας εἰς τὸ Ἀπόδειπνον καὶ εἰς τὰς Ὥρας, Ἀπολυτίκια καὶ Κοντάκια λέγομεν τὰ Ἀναστάσιμα, καὶ ἐναλλὰξ τῆς Μεγαλομάρτυρος καὶ τοῦ Ὁσίου.*

***Εἰ τύχοι ἐν ἡμέρᾳ Τρίτῃ,*** *Καὶ νῦν, λέγομεν τὰ Ἰδιόμελα τῆς Βηματαρίσσης. Εἰς τὰ Ἀπολυτίκια λέγομεν καὶ τῆς Βηματαρίσσης ὡς Καὶ νῦν. Κανόνα τῆς Βηματαρίσσης οὐ λέγομεν ἀλλὰ τὸν τῶν Πατέρων διὰ τὸ ἀσύγχυστον. Εἰς τοὺς Μακαρισμοὺς ἀντὶ τῶν Πατέρων λέγομεν τὴν γ΄ ᾠδὴν τῆς Βηματαρίσσης καὶ εἶτα, τῆς Μεγαλομάρτυρος ἡ γ΄ ᾠδὴ εἰς δ΄ καὶ τοῦ Ὁσίου ἡ ϛ΄ εἰς δ΄ (βλ. εἰς τὸ τέλος τῆς φυλλάδος). Εἰς δὲ τὰ Ἀπολυτίκια τῆς Λειτουργίας προσθέτομεν καὶ τὸ τῆς Βηματαρίσσης ὁμοίως καὶ Κοντάκιον. Ἀποστολοευαγγέλιον τοῦ Ὁσίου καὶ τῆς Θεοτόκου.*

***Εἰ τύχοι ἐν Σαββάτῳ,*** *λέγομεν τὸ Δογματικὸν τοῦ τυχόντος ἤχου, ἀλλ᾽ οὐχὶ καὶ κανόνα τῆς Θεοτόκου ἐκ τῶν Ὀκτωήχων τοῦ Εὐαγγελισμοῦ. Ἀποστολευαγγέλιον μόνον εἰς τὸ Κοιμητήριον λέγομεν τοῦ Ὁσίου καὶ τῶν Κεκοιμημένων.*

***Εἰ δὲ τύχοι ἐν ἄλλῃ ἡμέρᾳ,*** *ἀκολουθοῦμεν τὴν διάταξιν ὡς φαίνεται κάτωθι.*

## ΤΗ ΙΑ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ

**Μνήμη τῶν ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων τῆς Ἁγίας καὶ Οἰκουμενικῆς Δ΄ Συνόδου καὶ τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας, ὅτε τὸν ὅρον τῆς Συνόδου ἐκύρωσεν· ἔτι δὲ μνήμη τοῦ Ὁσίου Νικοδήμου τοῦ Ἡσυχαστοῦ καὶ διδασκάλου τοῦ Ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ.**

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Μετὰ τὸν Προοιμιακόν, οὐ στιχολογοῦμεν διὰ τὴν προλαβοῦσαν ἀγρυπνίαν. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄, καὶ ψάλλομεν τὰ ἑπόμενα Στιχηρὰ προσόμοια, ἤτοι: δ΄ τῶν Πατέρων, γ΄ τῆς Μεγαλομάρτυρος καὶ γ΄ τοῦ Ὁσίου.**

**Τῶν Πατέρων**[1]. *Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Σὲ τὸν ἀπερίγραπτον, καὶ ἀνερμήνευτον Λόγον, σάρκα χρηματίσαντα, δι᾽ ἡμᾶς φιλάνθρωπε ἀνεκήρυξε, τὸ σεπτὸν σύστημα, τῶν σοφῶν Πατέρων, Θεὸν τέλειον καὶ ἄνθρωπον, διπλοῦν ταῖς φύσεσι, καὶ ταῖς ἐνεργείαις ὑπάρχοντα, διπλοῦν καὶ ταῖς θελήσεσιν, ἕνα τὸν αὐτὸν καθ᾽ ὑπόστασιν· ὅθεν σὺν Πατρί τε, καὶ Πνεύματι γινώσκοντες Θεόν, ἕνα πιστῶς προσκυνοῦμέν σε, τούτους μακαρίζοντες.

Πύῤῥον τε καὶ Σέργιον, καὶ τὸν Ὀνώριον ἅμα, Εὐτυχῆ Διόσκορον, καὶ δεινὸν Νεστόριον κατεστρέψατε, τῶν κρημνῶν ἔνδοξοι, τὸ Χριστοῦ ποίμνιον, ἑκατέρων διασώσαντες, διπλοῦν ταῖς φύσεσιν, ἕνα τὸν

[1] Ἡ παροῦσα ἀκολουθία τῶν Πατέρων τῆς Δ΄ Συνόδου (ἤτοι δ΄ Προσόμοια καὶ εἷς κανὼν μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄, ποιήματα τοῦ Ἁγίου Φιλοθέου τοῦ Κοκκίνου) συμψάλλεται σήμερον μετὰ τῶν Ἁγίων διὰ λόγους οὓς βλέπε τῇ Κυριακῇ τῶν Πατέρων τῶν Ἑπτὰ Οἰκουμενικῶν Ἁγίων Συνόδων· ἐπέχει δὲ θέσιν, τρόπον τινά, τῆς Ὀκτωήχου· διὰ δὲ τὸ ἱστᾶν στίχους ι΄, ὅρα τῇ α΄ Σεπτεμβρίου τῆς Ἰνδίκτου.

Χριστὸν καθ’ ὑπόστασιν, λαμπρῶς ἀνακηρύξαντες, μόναις ἐνεργείαις δεικνύμενον· ὅν καὶ προσκυνοῦντες, ὡς ἄνθρωπον, καὶ τέλειον Θεόν, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, νῦν ὑμᾶς δοξάζομεν.

Ἄκτιστον ἐκήρυξαν, οἱ θεοφόροι συμφώνως, τὴν θείαν ἐνέργειαν, καὶ τὴν θείαν θέλησιν τοῦ πτωχεύσαντος, τὸν ἐμὸν ἄνθρωπον, τῇ σαρκὶ νείμαντες, τὸ κτιστὸν τῆς ἐνεργείας τε, καὶ τῆς θελήσεως, φύσεως φυγόντες τὴν σύγχυσιν, ἐμφρόνως οἱ μακάριοι, ὑποστατικήν τε διαίρεσιν· οὓς ἐν ἐτησίοις, τιμῶντες οἱ πιστοὶ ταῖς ἑορταῖς, Χριστὸν συμφώνως δοξάζομεν, τὸν αὐτοὺς δοξάσαντα.

Τριάδα τὴν ἄκτιστον, οἱ θεοφόροι Πατέρες, Θεὸν ἕνα Κύριον, ὁμοφρόνως σήμερον ἀνεκήρυξαν, τὸ ἁπλοῦν ἅπασι, τῆς μιᾶς φύσεως, καταλλήλως ὑποδείξαντες, κοινῷ θελήματι, καὶ τῆς ἐνεργείας ἁπλότητι, ἄναρχον ἀτελεύτητον, τοῦτον διὰ πάντων γνωρίσαντες· ὅθεν ἀνυμνοῦμεν, αὐτοὺς ὡς Ἀποστόλων μιμητάς, καὶ τὸ ἐκείνων διδάξαντας, πάντας Εὐαγγέλιον.

**Τῆς Μεγαλομάρτυρος.** ***Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.***

Ὢ τοῦ παραδόξου θαύματος! ἡ τοῦ Κυρίου ἀμνάς, τὴν αὐτοῦ ἐθελούσιον, μιμουμένη νέκρωσιν, διὰ πόνων ἀθλήσεως, κειμένη τάφῳ αἵματος πρόσχυσιν, ἀναπηγάζει σθένει τοῦ Πνεύματος· ἣν ἀρυόμενοι, εἰς ψυχῶν καθάρσιον, τῷ τοῦ παντός, αἴνεσιν προσάγομεν, Θεῷ ἑκάστοτε.

Μάρτυς ἀληθῶς πανεύφημε, θηρῶν ἐπέσχες ὁρμάς, Δανιὴλ ὡς τὸ πρότερον, καὶ πυρὸς ἐν χάριτι, εὐχερῶς κατετόλμησας· καὶ πᾶσαν ἄλλην οἴσασα βάσανον, ἐδέξω στέφος νίκης ἀμάραντον· καὶ ἀνελήλυθας, πρὸς τὸν σοὶ ποθούμενον, περιχαρῶς· ὅθεν σε γεραίρομεν, καὶ μακαρίζομεν.

Θείων Πατέρων συνάθροισμα, πίστεως Ὅρον τῇ σῇ, κορυφῇ ἐπιτίθεται· ὅν περ παναοίδιμε, ἠγκαλίσω φυλάττουσα, τὴν θείαν πίστιν ἀπαρασάλευτον, ἐκτρεπομένη ἅπασαν αἵρεσιν, καὶ καταισχύνουσα, τοὺς τοῦ ψεύδους ἔνδοξε, προασπιστάς· ὅθεν σε γεραίρομεν, καὶ μακαρίζομεν.

**Τοῦ Ὁσίου.** *Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τῶν τιμίων καμάτων σου, τὴν πληθὺν ἀναμέλποντες, ὕμνοις θεαρέστοις σε μεγαλύνομεν, Βατοπαιδίου ὀσφράδιον, μυρίζον Νικόδημε, πάντας μύρῳ ἀρετῶν, καὶ ὀσμαῖς τῶν ῥημάτων σου· ὅθεν ἄγοντες, τὴν ἐτήσιον μνήμην σου τὸν Κτίστην, γηθοσύνως ἀνυμνοῦμεν, τὸν σὲ ἐν βίῳ κρατύναντα.

Τῆς σαρκὸς καθυπέταξας, τὰς ὀρέξεις τῷ πνεύματι, γνώμης θεοφόρε ῥωμαλαιότητι, καὶ ἀνεδείχθης Νικόδημε, τοῦ Πνεύματος σκήνωμα, καὶ δοχεῖον ἐκλογῆς, ἀληθῶς πολυτίμητον· ὅθεν ἅπαντες, οἱ ἐν Ἄθῳ ἀσκούμενοι πατέρες, ὡς μελίῤῥυτον σοφίας, καθηγητήν σε γιγώσκουσιν.

Ὑπὲρ μέλι γλυκύτατα, τὰ σοφά σου διδάγματα, τὰς των μονοτρόπων καρδίας ἥδυνον, καὶ ὥσπερ μάννα ἐχόρτασαν, αὐτοὺς γνώσει κρείττονι, σωφροσύνης θησαυρέ, καὶ ἀσκήσεως πρότυπον· ὅθεν σήμερον, σὲ τιμῶντες Νικόδημε θεόφρον, ταῖς σεπταῖς σου μεσιτείαις, ταῖς πρὸς Χριστὸν καταφεύγομεν.

***Δόξα...*** **Τῆς Μεγαλομάρτυρος.** *Ἦχος πλ. β΄.*

Ἡ διηνθισμένη ταῖς ἀρεταῖς, καὶ πεφωτισμένη τὸν λογισμόν, ἡ μύρα προχέουσα, ἐν ταῖς καρδίαις τῶν πιστῶν, ἡ ἐκ τῆς ἑῴας ἀνατείλασα, ὡς ἀστὴρ φαεινός, καὶ ἀθροισμὸν ποιήσασα, διὰ τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως, τῶν θείων Πατέρων, μὴ διαλίπῃς ὑπὲρ ἡμῶν δυσωποῦσα πρὸς Κύριον, Εὐφημία πανεύφημε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Καὶ νῦν...*** ***Ὁ αὐτός.* Θεοτοκίον Δογματικόν.**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, «Φῶς ἱλαρόν» καὶ τὸ προκείμενον τῆς ἡμέρας.**

**Εἰς τὸν Στίχον. Στιχηρὰ προσόμοια·**

**Τῆς Μεγαλομάρτυρος δύο. *Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.***

Τὴν σορὸν τῶν λειψάνων σου, καθορῶντες πανεύφημε, ῥῶσιν ἀρυόμεθα ἀδαπάνητον, καὶ τὰς ψυχὰς φωτιζόμεθα, καὶ νοῦν ἐλλαμπόμεθα, καθαρθέντες νοητῶς, ταῖς ἀκτῖσι τοῦ Πνεύματος, μεσιτείαις σου, ἱεραῖς Εὐφημία· διὰ τοῦτο, μετὰ πόθου εὐφημοῦμεν, τὴν ἱεράν σου πανήγυριν.

**Στίχ.** *Ὑπομένων ὑπέμεινα τὸν Κύριον προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.*

Εὐτυχῆ καὶ Διόσκορον, καὶ τοὺς τούτοις ὁμόφρονας, Ἀκεφάλους ἅμα τε καὶ παράφρονας, τοὺς ἀνιάτως νοσήσαντας, εἰς τέλος κατήσχυνεν, Εὐφημία ἡ σεπτή, καὶ Χριστὸν ἀνεκήρυξε, ταῖς θελήσεσιν, ἐνεργείαις τε ἅμα διπλοῦν ὄντα, καθ' ὑπόστασιν δὲ ἕνα, ὡς οἱ Πατέρες ἐτράνωσαν.

**Καὶ τοῦ Ὁσίου ἕν. *Ὅμοιον.***

**Στίχ.** *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Θείου Πνεύματος χάριτι, λαμπρυνθεὶς τὴν καρδίαν σου, ἀστραπαῖς ῥημάτων σου κατεφαίδρυνας, τὴν Ἐκκλησίαν τοῦ κτίσαντος, καὶ σκότη ἐδίωξας, ἀγνωσίας ζοφερᾶς, φωτοδότης Νικόδημε, παμφαέστατος, τῶν ἀζύγων γενόμενος καὶ πάντων, αἰτουμένων φωτισθῆναι, ἐκ τῆς πανσόφου σου γνώσεως.

***Δόξα...* Τοῦ Ὁσίου. *Ἦχος πλ. δ'.***

Ὡς σοφὸς εὐσεβείας ὑφηγητής, τῶν ἀῤῥήτων μυστηρίων κατετρύφησας καὶ πᾶσι μετέδωκας, ἐκ τοῦ ἀκενώτου ἀντλήματος τῆς καρδίας σου, Νικόδημε Ὅσιε· πάντα γὰρ πόνον ἀσκητικὸν ὑπομείνας, ἀπείληφας τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ χάριν πρεσβεύειν τῷ Κυρίῳ, ἐπομβρῆσαι ἡμῖν, τὴν δρόσον τοῦ Ἁγίου Πνεύματος.

***Καὶ νῦν...* Θεοτοκίον.**

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου πανάμωμε· ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

## Ἀπολυτίκια.

**Τῆς Μεγαλομάρτυρος.** ***Ἦχος γ΄. Θείας πίστεως.***

Λίαν εὔφρανας τοὺς ὀρθοδόξους, καὶ κατῄσχυνας τοὺς κακοδόξους, Εὐφημία Χριστοῦ καλλιπάρθενε· τῆς γὰρ Τετάρτης Συνόδου ἐκύρωσας, ἃ οἱ Πατέρες καλῶς ἐδογμάτισαν. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Τοῦ Ὁσίου.** ***Ἦχος πλ.α΄. Τὸν συνάναρχον.***

Νικηφόρους ἀγῶνας κατὰ τοῦ δράκοντος, ἀσκητικῇ πολιτείᾳ, ἐν τοῖς ὁρίοις σοφέ, τῆς Μονῆς Βατοπαιδίου πόθῳ ἤγαγες, καὶ ἀρετῶν ὑφηγητής, χρηματίσας πρὸς μονάς, Νικόδημε αἰωνίους, μετέστης καθικετεύων, Χριστὸν ὑπὲρ τῶν εὐφημούντων σε.

**Θεοτοκίον.**

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· Χαῖρε ἀχείμαστε λιμήν, καὶ Ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί, τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

**Καὶ εἶθ᾽ οὕτω ἡ Ἀπόλυσις.**

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

## Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

**Τῆς Μεγαλομάρτυρος.** ***Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.***

Ἡ νύμφη καὶ ἀμνάς, τετρωμένη τῷ πόθῳ, Χριστὲ τοῦ ἑαυτῆς, οὐρανίου νυμφίου, ὀπίσω σου ἔδραμε, τὴν λαμπάδα κατέχουσα, τὴν δι᾽ ἔλαιον, τῶν ἀρετῶν ἀνημμένην. Ταύτης ἅπαντας, ῥῦσαι παντοίων κινδύνων, πρεσβείαις ὡς εὔσπλαγχνος.

***Δόξα...*** **Τοῦ Ὁσίου.** ***Ὅμοιον.***

Διδάσκαλος σοφός, τοῦ κλεινοῦ Γρηγορίου, σεπτοῦ μυσταγωγοῦ, Παλαμᾶ κεκλημένου, ἐπώφθης Νικόδημε, προσευχῆς οἰκητήριον, καὶ ἀσκήσεως, πολυτελὲς ἐκμαγεῖον· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

**Καὶ νῦν... Θεοτοκίον.**

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ, ἀεί σε δοξάζουσιν.

**Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.**

**Τῆς Μεγαλομάρτυρος. *Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.***

Κατῃσχύνθησαν αἰσχρῶς, αἱρετιζόντων ἡ πληθύς, καὶ τὰ πρόσωπα αὐτῶν, ὕβρεως πέπλησται πολλῆς, ὅτε ἑώρων ποσί σου κατεῤῥιμμένον, τὸν τόμον ἑαυτῶν, τὸν δὲ ἡμέτερον, τιμίαις σου χερσί, κατεχόμενον, κατηγοροῦντα ἄνοιαν ἐνδίκως, τῶν κακοδόξων καὶ κράζοντα· Χριστὸς ἐτέχθη, διπλοῦς τῇ φύσει, διπλοῦς δὲ καὶ ταῖς θελήσεσι.

***Δόξα...* Τοῦ Ὁσίου. *Ἦχος γ΄. Τὴν ὡραιότητα.***

Τὴν θείαν ἔλλαμψιν, ἐν τῇ καρδίᾳ σου, σοφὲ δεξάμενος, ζόφον ἐδίωξας, τῶν χαμαιζήλων μεριμνῶν, φωστὴρ τοῦ Βατοπαιδίου· ὅθεν καὶ διέλαμψας, ἑωσφόρος ὡς ἄδυτος, καταυγάζων ἅπαντας, ἀρετῶν σου ταῖς χάρισι· διό σοι ὁλοθύμως βοῶμεν· Χαῖρε, Νικόδημε φωσφόρε.

**Καὶ νῦν... Θεοτοκίον.**

Κατατρώσκει με, βέλος γλυκύτατον, τῆς ἀγαπήσεως, τῆς σῆς Πανύμνητε· καὶ ἀναγκάζει με πυκνῶς, βοᾷν σοι εὐλογημένη. Χαίροις ἡλιόμορφε, βασιλέως παλάτιον· χαῖρε στῦλε πύρινε, καὶ νεφέλη ὁλόφωτε· χαῖρε τοῦ οὐρανοῦ καὶ γῆς θαῦμα. Χαῖρε ἁπάντων ὑπερτέρα.

**Εἶτα οἱ Ἀναβαθμοί, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.**

**Προκείμενον. Ἦχος δ΄.**

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Στίχ.** *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

**Πᾶσα πνοή. Εὐαγγέλιον, Ὁσιακόν.**

**Ὁ Ν΄.**

***Δόξα.*** Ταῖς τοῦ σοῦ Ὁσίου.

***Καὶ νῦν.*** Ταῖς τῆς Θεοτόκου.

**Στίχ.** Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Ἰδιόμελον.** ***Ἦχος πλ.β΄.***

Σήμερον ἡ τοῦ Βατοπαιδίου μεγίστη, καὶ περίβλεπτος Μάνδρα, χαρμονικῶς πανηγυρίζει, ἐν τῇ ἁγίᾳ σου μνήμῃ, Νικόδημε θεοφόρε, διδασκάλων ἔκτυπον· καὶ σὺν αὐτῇ πᾶσαι τῶν μοναστῶν, αἱ χορεῖαι γεγηθυῖαι, μύστα θειότατε, τοὺς ἀόκνους σου καμάτους καὶ ἀσκήσεώς σου τὸ ἀσίγητον, ᾀσματικῶς μακαρίζουσιν· ἐκθύμως γὰρ ἀρνησάμενος, πᾶν κοσμικὸν φρόνημα, καὶ καθαρθεὶς τῇ διανοίᾳ, ὑφηγήτωρ ὤφθης ἐγκρατείας θεόσοφος, καὶ πρεσβευτὴς ἡμῶν πρὸς τὸν Κτίστην θερμότατος.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**
**Καὶ εἶτα οἱ Κανόνες·**

**Ὁ τῶν Πατέρων εἰς ϛ΄ μετὰ τοῦ Εἱρμοῦ, τῆς Μεγαλομάρτυρος εἰς δ΄ καὶ τοῦ Ὁσίου εἰς δ΄.**

**Ὁ Κανὼν τῶν Πατέρων, ἔχων Ἀκροστιχίδα·**
«Πλάνης ἀνυμνῶ δεξιοὺς καθαιρέτας.»
**Ἐν δὲ τοῖς Θεοτοκίοις:** «Φιλόθεος»[2].
**Ὠδὴ α΄.** ***Ἦχος α΄.*** **Ὁ Εἱρμός.**

***Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται, αὕτη γὰρ ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα. (ἅπαξ).***

Πλάνης καθαιρέτας δεξιούς, νῦν ἀνυμνῆσαι προθέμενος Δέσποτα, χάριν τὴν σὴν ἄνωθεν, τὴν πανσθενῆ καλῶ καὶ τὴν ἐνέργειαν· δεξιὰ γὰρ ὄντως, σὺ τοῦ Πατρός τε καὶ δύναμις.

Λόγοις Προφητῶν τῶν ἱερῶν, Εὐαγγελίων τε νόμοις ἑπόμενοι, τοῦ Θεοῦ τὸ ἄγνωστον, καὶ τὸ γνωστὸν σαφῶς ἡμᾶς ἐδίδαξαν, οἱ σοφοὶ Πατέρες, τῆς πλάνης πάντας ῥυσάμενοι.

---

[2] Ἐποίησε τὸν Κανόνα τοῦτον ὁ ἱερὸς Φιλόθεος, ἀναμφιβόλως δὲ καὶ τὰ Προσόμοια τοῦ Ἑσπερινοῦ, ὥς τινα εὐχαριστήριον ὕμνον πρὸς τὸν Θεόν, καθὼς ὁ ἴδιος λέγει ἐν τῷ Θεοτοκίῳ τῆς θ΄ Ὠδῆς τοῦ παρόντος Κανόνος, ὅτε, μετὰ τὴν ἀναχώρησιν αὐτοῦ ἀπὸ τοῦ Πατριαρχικοῦ θρόνου, ἐπανεκλήθη πάλιν τὸ δεύτερον εἰς αυτόν, κατὰ τὸ 1369 ἔτος, τῇ ια΄ Οκτωβρίου.

Ἄνωθεν χορὸς προφητικός, καὶ Ἀποστόλων ὁ θεῖος κατάλογος, ἕνα τρισυπόστατον, Θεὸν τρανῶς καὶ πανσθενῆ ἐδίδαξαν· ὃν σεπτοὶ Πατέρες, σαφῶς ἡμῖν ἐξεκάλυψαν.

Νόμοις πειθαρχοῦντες θεϊκοῖς, οἱ θεοφόροι Πατέρες ἐδίδαξαν, κατ᾽ οὐσίαν ἄγνωστον, τὸν Ποιητὴν ἁπάντων χρηματίζοντα, ἐνεργείαις μόναις, καλῶς νοεῖσθαι τοῖς βλέπουσι.

**Θεοτοκίον.**

Φῶς τὸ τριλαμπὲς θεουργικῶς, ἐν τῇ γαστρί σου χωρήσασα Δέσποινα, τὰς καρδίας φώτισον, ὡς ἀγαθὴ τῶν εὐσεβῶς ὑμνούντων σε· φῶς γὰρ σὺ καὶ δόξα, καὶ σωτηρία αἰώνιος.

## Ὁ Κανὼν τῆς Μεγαλομάρτυρος.

Ποίημα Ἰακώβου Πρωτοψάλτου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

**Ὠδὴ α΄.**

***Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.***

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ ᾄσω μελῴδημα, τῇ ἀθληφόρῳ Χριστοῦ, καὶ ὀφθήσομαι, φαιδρῶς ἀνακηρύττων, τοὺς πόνους οὓς ἤνεγκε, καὶ τὰ παλαίσματα.

Ἰάσεων ἄφθονα, ἡμῖν προχέεις χαρίσματα, τοῖς πίστει προστρέχουσιν, ἐν τῷ ναῷ σου σεμνή, καὶ αἰτοῦσί σε, ἐκ βάθους τῆς καρδίας, καὶ πόθῳ τὴν μνήμην σου, πανηγυρίζουσιν.

Ναὸς ἐχρημάτισας, κατὰ τὸν θεῖον Ἀπόστολον, ἐν ᾧπερ ηὐδόκησε, Χριστὸς ὁ Κύριος, ἐνοικῆσαί τε, καὶ ἐμπεριπατῆσαι, ψυχῆς καθαρότητι, Μάρτυς πολύαθλε.

**Θεοτοκίον.**

Οὐ κρύπτομεν Δέσποινα, τοῦ σοῦ ἐλέους τὴν ἄβυσσον, καὶ βρύσιν τὴν ἄφθονον, τῶν τεραστίων σου, καὶ τὸ πέλαγος, τῶν εὐεργεσιῶν σου, ὧν πᾶσι δι᾽ ἔλεον πολὺν ἐξέχεας.

## Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:

«ΝΙΚΟΔΗΜΟΣ Ο ΝΙΚΗΦΟΡΟΣ ΑΞΙΩΣ ΥΜΝΕΙΣΘΩ. Χ.»

**Ὠδὴ α΄.**

***Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.***

Νικόδημε πάνσοφε, ἐν τοῖς ὑψίστοις λαμπρότητα, ὁρῶν τοῦ Παντάνακτος, φωτοπαρόχου Θεοῦ, καὶ θεούμενος, μεθέξεσι ταῖς θείαις, τὸν νοῦν μου καταύγασον, ὅπως ὑμνήσω σε.

Ἰσχὺν ἐνδυσάμενος, τὴν θείαν πάτερ Νικόδημε, ἐχθροῦ κατεπάτησας τὴν ἐπηρμένην ὀφρύν· ὅθεν ἤσκησας, ἐν τοῖς Βατοπαιδίου, ὁρίοις ὡς ἄσαρκος, πνευματοφόρητε.

*Δόξα Πατρί ...*

Καθάρας Νικόδημε, τὸν νοῦν ἐνθέοις σου πράξεσιν, ἐδέξω τὴν ἔλλαμψιν, τοῦ Παρακλήτου· διό, καὶ φωτόλαμπρος, ἀστὴρ ἀζύγων ὤφθης, φωτίζων σοῖς φθέγμασιν, Ὄρος τὸ Ἅγιον.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Ὁ πᾶσιν ἀχώρητος, Λόγος Θεοῦ Μητροπάρθενε, σκηνώσας ἐν μήτρᾳ σου, φιλανθρωπίᾳ καμφθείς, τῆς Προμήτορος, ἐξήλειψε κατάραν, καὶ φύσιν ἐθέωσε, ἥν περ ἀνέλαβε.

**Καταβασία.**

***Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.***

**Ὠδὴ γ΄. Τῶν Πατέρων. Ὁ Εἱρμός.**

***Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης Φιλάνθρωπε. (ἅπαξ).***

Ἡ πρώτη πηγὴ τῶν ἀγαθῶν, ἡ χάρις ἡ τοῦ Πνεύματος, ὡς ποταμοὺς ὑμᾶς ἀνεστόμωσε, τὴν πλάνην ἔνδοξοι κατασύροντας, καὶ πιστοὺς ποτίζοντας, εὐσεβείας νάματα, Προφητῶν, Ἀποστόλων τὸ κήρυγμα.

Σέργιον καὶ Πύῤῥον τοὺς δεινούς, προστάτας τῆς αἱρέσεως, Παῦλον καὶ Πέτρον καὶ τὸν Θεόδωρον, γενναίως ἅμα σοφοὶ καθείλετε, τὴν

σεπτὴν στηρίξαντες, Ἐκκλησίαν ἔνδοξοι, Ἀποστόλων, Πατέρων τοῖς δόγμασιν.

Ἀνάρχου Θεότητος τρανῶς, ἐνέργειαν συνάναρχον, οἱ θεοφόροι ἀνακηρύξαντες, κτιστὴν ἐδίδαξαν τὴν ἐνέργειαν, τοῦ κτιστοῦ προσλήμματος, ἐν διπλόῃ φύσεων, Υἱὸν ἕνα Χριστὸν καταγγείλαντες.

**Θεοτοκίον.**

Ἰδεῖν οἱ ποθοῦντες τὰς αὐγάς, τῆς χάριτος τοῦ Πνεύματος, καὶ τὴν ἀνέσπερον θείαν ἔλλαμψιν, πηγῇ προσδράμωμεν τῇ τῆς χάριτος, τῇ Μητρί τοῦ κτίσαντος· ἐν αὐτῇ γὰρ ἅπαντα, τοῖς πιστοῖς χορηγεῖται τὰ βέλτιστα.

### Τῆς Μεγαλομάρτυρος. *Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.*

Ὢ πῶς ἐν τῷ μέσῳ τοῦ σταδίου, ἀθλοῦσα ἡ Μάρτυς τοῦ Χριστοῦ, τὸν τύραννον ἐξέστησε, δι' ἄκραν καρτερότητα· ἀνδρείως γὰρ ὑπήνεγκε, τὰ τῶν δεινῶν κολαστήρια.

Πανεύφημε Μάρτυς Εὐφημία, εὐφήμοις ἐν ᾄσμασιν ἀεί, τὴν μνήμην σου γεραίρομεν, τὴν σὴν πλουτοῦντες λάρνακα, τὸ λείψανόν σου φέρουσαν, τὸ ἱερὸν καὶ σεβάσμιον.

Ἀνδρείως κατέβαλες τὸν ὄφιν, τὸν μέγαν σεμνὴ τὸν νοητόν, δυναμωθεῖσα χάριτι, Πατρὸς Υἱοῦ καὶ Πνεύματος, τῆς ἀσυγχύτου φύσεως, καὶ τρισηλίου Θεότητος.

**Θεοτοκίον.**

Ὑμνήσωμεν πάντες κατὰ χρέος, Μαρίαν τὴν Δέσποιναν ἁγνήν, τὴν μόνην ἀειπάρθενον, αὕτη γὰρ τὸ κεφάλαιον, τῆς σωτηρίας γέγονε, ἡμῶν δι' ἄκραν καθαρότητα.

### Τοῦ Ὁσίου. *Ὁ αὐτός.*

Διδάσκαλος ὤφθης θεολόγων, ἐν οἷς Γρηγορίου Παλαμᾶ, εὐφράνας ὡς ἀείῤῥοος, χειμάῤῥους θείας γνώσεως, αὐτῶν τὸν νοῦν Νικόδημε, Βατοπαιδίου θησαύρισμα.

Ἡσύχως ἐν Ὄρει τῷ Ἁγίῳ, ἐβίωσας καὶ τῇ τῶν Γραφῶν, μελέτῃ οἰκειούμενος, Νικόδημε φιλόσοφε, ἐδέξω τὰ τοῦ Πνεύματος, φωτολαμπῆ ἐκπυρσεύματα.

*Δόξα Πατρί ...*

Μεγίστης ἐν πόλῳ εὐκληρίας, ὡς γνήσιος φίλος τοῦ Χριστοῦ, κατηξιώθης Ὅσιε, Νικόδημε· διόπερ σε, ἀνευφημοῦντες μέλπομεν, ᾠδαῖς καμάτων τὸ πλῆθός σου.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Ὁλόφωτον σκήνωμα τῆς δόξης, Χριστοῦ τοῦ Παντάνακτος Θεοῦ, τὴν σκοτισθεῖσαν λάμπρυνον, ψυχήν μου καὶ ἀνάδειξον, αὐτὴν φωτὸς ἀπαύγασμα, καὶ διαυγὲς σκεῦος χάριτος.

**Καταβασία.**

***Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.***

**Μετὰ τὴν αἴτησιν.**

**Κοντάκιον τῆς Μεγαλομάρτυρος.** ***Ἦχος β΄.*** *(χύμα)*

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει, κατεβάλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου· ἀλλὰ καὶ νῦν, ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε, διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων, Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

**Ὁ Οἶκος.**

Τί τῶν σῶν ἀθλημάτων, ἢ τί τῶν σῶν κατορθωμάτων, ἢ τί τῆς σῆς παρθενίας, ἢ τοῦ βίου τοῦ ἀμέμπτου σου θαυμάσειέ τις πρότερον; σὺ γὰρ εὔφρανας τὸν Πατέρα, ὡς τῷ Υἱῷ νυμφευθεῖσα, τῷ Πνεύματι τῷ ἁγίῳ, σαυτὴν κατακοσμήσασα. Τίς ἱκανοῖ πρὸς ταῦτα; τίς λέγειν νῦν ἰσχύσειεν, ὅσαι σε περιλάμπουσιν ἀρεταί, μὴ ὑποδύουσαι; ὡς ἐξ ἀνατολῆς γὰρ ἐκ τάφου ἀνατέλλουσα, παντὶ φαίνεις, καὶ ἀκτινοβολεῖς ἐν γῇ καὶ θαλάσσῃ, καὶ ἐπὶ πᾶσαν ἤπειρον, ἁγιάζεις καὶ μυρίζεις τὰ πέρατα· διὸ Τόμον πεπίστευσαι, ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων, Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

**Εἶτα τὰ Καθίσματα.**

**Τῆς Μεγαλομάρτυρος.** ***Ἦχος πλ.δ΄. Τὸ προσταχθὲν μυστικῶς.***

Ἐν τῇ εὐσήμῳ ἑορτῇ τῆς πανευφήμου, μετ' ἐγκωμίων ψαλμικῶς πιστῶν ὁ δῆμος, εὐφημήσωμεν πόθῳ Χριστοῦ τὴν παρθένον· δογμάτων γὰρ ἀνεδείχθη τῶν πατρικῶν, προστάτις· καὶ μετὰ τέλος θαῦμα φρικτόν! Εὐτυχῆ καὶ Διόσκορον, ἐλέγξασα τοὺς κακῶς, νοσήσαντας εἰς δόγμα Χριστοῦ, Ὃν ὑμνοῦντες δοξάζομεν.

***Δόξα...*** **Τοῦ Ὁσίου.** ***Ἦχος ὁ αὐτός. Τὴν Σοφίαν καὶ Λόγον.***

Δεδεγμένος τῆς χάριτος θεῖον φῶς, καὶ σοφίαν τὴν κρείττω πεπλουτηκώς, διέλαμψας Ὅσιε, ἐν τῷ Ἄθῳ Νικόδημε, καὶ διδασκάλων ὤφθης φωστὴρ φαεινότατος, καταπυρσεύσας πάσας, ἀζύγων τὰς φάλαγγας, γνώσεως ἀκτῖσι, τοῦ φωτὸς τοῦ ἀκτίστου, δι' οὗ καὶ ἠμαύρωσας, τὴν ἀπάτην τοῦ ὄφεως· ἀσκουμένων ἀκρώρεια· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου

***Καὶ νῦν...*** **Θεοτοκίον.**

Ὡς πανάμωμος Νύμφη τοῦ ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ Λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Ὑψίστου Πανύμνητε, ἀνομιῶν με ὄντα, αἰσχρὸν καταγώγιον, καὶ ἐν γνώσει γενόμενον, τοῖς δαίμοσι παίγνιον, σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε· δίωξον ἀχλὺν τῶν παθῶν, καὶ τῆς ἄνω δόξης καταξίωσον, καὶ φωτὸς ἀνεσπέρου πρεσβείαις σου.

**ᾨδὴ δ΄.**

**Τῶν Πατέρων. Ὁ Εἱρμός.**

***Ὄρος σε τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακούμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.***

Νόμους τοὺς τοῦ Πνεύματος, μελέτην ποιούμενοι, τοὺς πατρικοὺς νόμους σοφοί, καταπεμφθέντας πρὸς ὑμᾶς, ἐκ Ῥώμης ἐδέξασθε, καὶ ἀναπτύξαντες φωτὶ τῷ τοῦ Πνεύματος, τὴν Ἐκκλησίαν καλῶς ἐστηρίξατε.

Ὕμνοις καταστέψωμεν, τὴν θείαν ὁμήγυριν, τῶν θεοφόρων οἱ πιστοί· τὸν σαρκωθέντα Λόγον γάρ, Θεόν τε καὶ ἄνθρωπον, ταῖς ἐνεργείαις ἅμα καὶ τοῖς θελήμασι, τοῖς καταλλήλοις ἡμῖν ἀνεκήρυξαν.

Μέγιστα φυσώμενον, Ὀνώριον πάνσοφοι, ἐπὶ τῷ θρόνῳ καὶ ἀρχῇ, Ῥώμης ποτὲ τῆς παλαιᾶς, καλῶς κατεστρέψατε, καὶ μετὰ τέλος τοῦτον ἀποκηρύξαντες, ὡς τῆς ἀρχῆς καὶ τοῦ θρόνου ἀνάξιον.

**Θεοτοκίον.**

Λόγον ἐνυπόστατον, Παρθένε γεννήσασα, Θεοῦ καὶ φῶς ἀληθινόν, τοὺς ὀφθαλμούς μου τῆς ψυχῆς, διάνοιξον δέομαι, καὶ τῆς ἐκεῖθεν αἴγλης μέτοχον ποίησον· σὺ γὰρ μεσίτις αὐτοῦ τε καὶ πρύτανις.

**Τῆς Μεγαλομάρτυρος.** ***Τὴν ἀνεξιχνίαστον.***

Ὄλβον ἐθησαύρισας τὸν ἀληθῆ, ὅν περ σὴς καὶ βρῶσις οὐ δύναται, ἐξαφανίσαι, καλλιπάρθενε σεμνή. Οὐ γὰρ ἐν γῇ κατέκρυψας, τοῖς δεομένοις δὲ ἐσκόρπισας.

Θάμβους ἐπληρώθησαν καὶ χαρμονῆς, ὄντως τῶν Πατέρων ὁ σύλλογος, ἐν ταῖς χερσί σου, καθορῶντες ὦ σεμνή, τὸν Τόμον τὸν ὀρθόδοξον, ἐν δὲ τοῖς ποσὶ τὸν ἀλλότριον.

Ὕβρεως ἐπλήσθησαν σφόδρα πολλῆς, οἱ περὶ Διόσκορον ἅπαντες, καὶ Εὐτυχέα, οἱ νοσήσαντες κακῶς, οὓς ἐπὶ τέλους ᾔσχυνας, Μάρτυς Εὐφημία πανεύφημε.

**Θεοτοκίον.**

Νόες ἐπουράνιοι τὸ ἐπὶ σοί, ὄντως Θεοτόκε μυστήριον, κατανοοῦντες, ἐξεπλάγησαν· διό, ἰλιγγιῶσι Δέσποινα, ὕμνον κατ᾽ ἀξίαν προσφέρειν σοι.

**Τοῦ Ὁσίου.** ***Ὁ καθήμενος ἐν δόξει.***

Στῦλος ἄσειστος νηστείας, ἐγκρατείας καὶ νήψεως, ὤφθης καὶ Ἁγίου, Πνεύματος ταμεῖον Νικόδημε· σὲ γὰρ κλονίσαι Βελίαρ πανουργεύματα, τὰ σαθρότατα, οὐκ ἠδυνήθησαν Ὅσιε.

Ὄρος Ἄθω ἐγκαυχᾶται, ἀρετῶν ἐπιδόσεσι, τῶν πνευματικῶν σου, καὶ τῷ τῆς σοφίας μεγέθει σου, δι᾽ ὧν ψυχὰς μονοτρόπων καθωδήγησας, πρὸς σκηνώματα, τὰ θεϊκὰ λογιώτατε.

*Δόξα Πατρί ...*

Νικηφόρως τοὺς καμάτους, ἀγωγῆς σου τετέλεκας, τῆς πολυχρονίου, ἐν Βατοπαιδίῳ Νικόδημε, καὶ πρὸς ἀΰλους σκηνώσεις μεταβέβηκας, καὶ ἀπείληφας, ζωῆς ἀφθίτου τὰ δράγματα.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Ἵνα κράζω σοι τὸ χαῖρε, καθ᾽ ἑκάστην Παντάνασσα, σὲ καθικετεύω, δίδου μοι ὑγείαν καὶ δύναμιν, καταπατεῖν τοῦ ἀλάστορος τὰ ἔνεδρα, ταῖς πρεσβείαις σου, ταῖς ῥυπτικαῖς πρὸς τὸν Κύριον.

**Καταβασία.**

***Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.***

**Ὠδὴ ε΄.**

**Τῶν Πατέρων. Ὁ Εἱρμός.**

***Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ σταυρῷ σου τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον φωτί, τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.***

Νομοθέτας θεοφόροι Χριστὸς ὑμᾶς ἔδειξεν, ὁδηγοῦντας ὡς Μωσῆς Ἰσραὴλ νέον ἄριστα, Φαραὼ τὸν ἔχθιστον, βυθῷ δεινῷ τῆς ἀπωλείας, ὥσπερ ἐκεῖνος ποντίσαντας.

Ὡς καλλίστη καὶ λαμπρὰ τῶν Πατέρων ἡ Σύνοδος· τὸν ἁπλοῦν γὰρ Ἰησοῦν ἐκμαθοῦσα καὶ σύνθετον, ὡς Θεὸν καὶ Ἄνθρωπον, διπλᾶς αὐτοῦ τὰς ἐνεργείας, πᾶσι κηρύττει τοῖς πέρασι.

Δῶρον θεῖον τὰς ἐκ Ῥώμης γραφὰς λογισάμενοι, ἐπ᾽ ἐκείναις εὐσεβείας τὸν πύργον ἐστήριξαν, οἱ σοφοὶ Διδάσκαλοι, διττὰς Χριστοῦ τὰς ἐνεργείας, ὡς καὶ τὰς φύσεις κηρύξαντες.

Ἐξηλέγχθη Παῦλος Πέτρος ὁμοῦ καὶ Θεόδωρος, σὺν τῷ Πύῤῥῳ καὶ Σεργίῳ Ὀνώριος σύγχυσιν, τοῦ Χριστοῦ τῶν φύσεων, τῆς ἐνεργείας τῇ συγχύσει, κατασκευάζοντες αἴσχιστα.

**Θεοτοκίον.**

Ὅλη Κόρη φωτισμὸς σὺ ὑπάρχεις καὶ ἔλλαμψις, τοῦ ἀδύτου φωτισμοῦ χρηματίσασα τέμενος· διὰ τοῦτο δέομαι, φωτὶ τῷ σῷ Θεογεννῆτορ, ψυχῆς τὰς κόρας μου φώτισον.

**Τῆς Μεγαλομάρτυρος.** ***Ἐξέστη τὰ σύμπαντα.***

Μερίδα πανεύφημε, τὴν ἀγαθὴν προέκρινας, πάντα παριδοῦσα τὰ τοῦ βίου, δόξαν καὶ πλοῦτον· ἑνὸς γὰρ χρεία ἐστί, μέριμναν καὶ τύρβην τῶν πολλῶν, σὺ ἀπεσκοράκισας, τὴν Μαρίαν ζηλώσασα.

Ὢ ξένον τεράστιον! νεκρὰ μὲν ἐν τῷ μνήματι, θαύματα τελεῖ δ' ὥσπερ τις ζῶσα, κρείττονα λίαν ἢ κατὰ ἄνθρωπον, αἱμάτων ἐκβλύζουσα κρουνούς, εἰς ἔνδειξιν μείζονα, ὅτι ζῶσιν οἱ δίκαιοι.

Συνοῦσα τῷ Κτίστῃ σου, ἐν οὐρανοῖς πανεύφημε, ἔντευξιν ποιοῦ ὑπὲρ τῶν πίστει, ἀνευφημούντων τὴν θείαν μνήμην σου, Μάρτυς Εὐφημία τοῦ Χριστοῦ, ὑπὲρ οὗ τὸ αἷμά σου, ὥσπερ θῦμα ἐξέχεας.

**Θεοτοκίον.**

Ἀνύμφευτε Δέσποινα, τῶν Προφητῶν ἡ πρόῤῥησις, ὄντως ἐπὶ σοὶ πέρας λαμβάνει· καὶ γὰρ ἐν μήτρᾳ τῇ σῇ συνέλαβες, τὸν Λόγον τὸν ἄναρχον Πατρός, ὡς ὁ θεῖος σύλλογος, τουτωνὶ προεκήρυξε.

**Τοῦ Ὁσίου.** ***Ὁ αὐτός.***

Κρουνόν σε γινώσκομεν, χρηστότητος Νικόδημε, βρύσιν ἀκακίας καὶ σοφίας, χειμάῤῥουν ἅμα, τῶν μοναστῶν θεϊκόν, ἀρδεύοντα λόγοις σωστικοῖς, καὶ σεπτοῖς σου ῥήμασι, τῆς καρδίας τοὺς αὔλακας.

Ἡλίου φαιδρότερον, ἐξέλαμψας Νικόδημε, ἐν Βατοπαιδίου τοῖς ὁρίοις, πυρσεύων πάντας, ταῖς ἀρετῶν σου βολαῖς, καὶ ταῖς θεοπνεύστοις διδαχαῖς, ἃς τὸ θεῖον στόμα σου, τὸ μελίῤῥυτον ἔφασκε.

*Δόξα Πατρί ...*

Φιλόθεε πρύτανι, τῆς ψυχικῆς καθάρσεως, καὶ τῆς ἀπαθείας ὑφηγῆτορ, ἐν τῇ κονίστρᾳ, τῶν σῶν στεῤῥῶν ἀληθῶς, καμάτων τὸν θεῖον Παλαμᾶν, μαθητὴν Νικόδημε, εὐπειθέστατον δέδεξαι.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Ὁσίων ἀγλάϊσμα, Κυρία Βηματάρισσα, τοῦ Βατοπαιδίου ἀντιλῆπτορ, συμπαθεστάτη, τῆς μετανοίας φωτί, καταύγασον βάθη τῆς ψυχῆς, τῆς ἐμῆς καὶ δίωξον, τῶ παθῶν μου σκοτόμαιναν.

**Καταβασία.**

***Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.***

**ᾨδὴ ϛ΄.**

**Τῶν Πατέρων. Ὁ Εἱρμός.**

***Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.***

Ξένην καὶ καινήν, σύγχυσιν τῶν φύσεων, Χριστοῦ τὸ δεινόν, ὄντως συνέδριον, ἐξηρεύξαντο, τὰς διττὰς ἐνεργείας συγχέαντες, εἰς ἐνέργειαν, τὴν μίαν καὶ ἀλλόκοτον· ἥνπερ, ὀρθοδόξων πλήρωμα, ἱερῶν περιβόλων ἀπήλασεν.

Ἵνα τὸν δεινόν, ἐκφύγῃ Νεστόριον, δυάδα υἱῶν, κακῶς εἰσάγοντα, τὸ συνέδριον, τὸ τῆς πλάνης ἐκ βόθρου εἰς βάραθρον, ἐξωλίσθησε, θελήσεων καὶ φύσεων, μάτην, δογματίζον σύγχυσιν· ἀλλὰ θείοις Πατράσι διήλεγκται.

Ὅνπερ τῷ Πατρί, Υἱὸν ὁμοούσιον, Πατέρες τὸ πρίν, τρανῶς ἐκήρυξαν, σὺν τῷ Πνεύματι, Διδασκάλων ἐνθέων ὁ σύλλογος, ἐνεργείαις, θεϊκαῖς πάντας ἐδίδαξαν, μίαν, φυσικὴν γνωρίσαντες, τὴν ἐνέργειαν ἅμα καὶ θέλησιν.

Ὑποστατικήν, φρονοῦντες τὴν θέλησιν, εἰσῆγον κακῶς, σὺν ταῖς θελήσεσι, καὶ τὰ πρόσωπα, τῶν θελόντων τῆς πλάνης οἱ πρόμαχοι· οὕς περ κάλλιστα Πατέρες ἐξελέγξαντες, φύσει, συμφυῆ διδάσκουσι, τὴν κατάλληλον ταύτης ἐνέργειαν.

**Θεοτοκίον.**

Θύρα θεϊκῆς, ἀκτῖνος σὺ Δέσποινα, πηγή τε φωτός, ἀδύτου γέγονας· τὸ γὰρ πλήρωμα, τῆς Θεότητος ἅπαν ἐσκήνωσεν, ἀποῤῥήτως, ἐν τῇ μήτρᾳ σου πανάμωμε· οὗπερ, φυσικὴν ἐνέργειαν, καὶ τὴν αἴγλην βραβεύεις τοῖς χρῄζουσιν.

**Τῆς Μεγαλομάρτυρος.** ***Τὴν Θείαν ταύτην.***

Ὡς ἄνθος χόρτου ἡ πάνσεμνος, ὁρῶσα Εὐφημία ῥεόμενα, πάντα τὰ γήϊνα, δίκην σκυβάλων κατέπτυσεν, ἵνα Χριστὸν κερδήσῃ, ὅν περ ἐπόθησεν.

Καθεῖλες Κόρη τὸν δράκοντα, τὸν μέγαν καὶ πολλὰ ἐπαιρόμενον, καὶ κατεβύθισας, ἐν τοῖς κρουνοῖς τῶν αἱμάτων σου, τὸν καθ᾽ ἡμῶν δολίως, μηχανευόμενον.

Ὁρῶντες Μάρτυς ὡς ἥδυσμα, ἐν μέσῳ σοῦ τὸ λείψανον κείμενον, τὸ ἱερώτατον, πνευματικῶς εὐωχούμεθα, ἁγιασμὸν καὶ ῥῶσιν, ἀπαρυόμενοι.

**Θεοτοκίον.**

Ξενίζεις πάντας τῷ τόκῳ σου, Παρθένε Παναγία Θεόνυμφε· ὤ! πῶς ἀπείρανδρος, οὖσα πρὸ τόκου γεγέννηκας, καὶ μετὰ τόκον πάλιν, ἔμεινας ἄφθορος.

**Τοῦ Ὁσίου.** ***Ὁ αὐτός.***

Ῥημάτων Πάτερ τῶν θείων σου, ἡ χάρις ὥσπερ μύρον οὐράνιον, τοὺς ἐν τῷ Ἄθωνι, χοροὺς ἀζύγων κατηύφρανε, καὶ πρὸς τὴν κληρουχίαν, τὴν ἄνω ἴθυνεν.

Ὁρῶν Χριστοῦ τὴν λαμπρότητα, ἐπόπτα τῶν ἀῤῥήτων Νικόδημε, νῦν ἐν τοῖς δώμασι, τοῖς οὐρανίοις ἀξίωσον, κἀμὲ φωτὸς ἀΰλου, γενέσθαι μέτοχον.

*Δόξα Πατρί ...*

Σοβῶν ἐχθροῦ τὴν κακότητα, ἀόκνοις σου πρὸς Κτίστην ἐντεύξεσι, καὶ νυχθημέροις σου, καμάτοις σῶφρον Νικόδημε, ὁσίων ἀνεδείχθης, τοῦ Ἄθω πρότυπον.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Ἀνθρώπων πέλεις βοήθεια, σεπτὴ Παραμυθία καὶ στήριγμα, ἐν περιστάσεσι, δεινοῖς· διὸ ἀνυμνοῦντές σε, τὰς σὰς εὐεργεσίας, λαλοῦμεν ἅπασιν.

**Καταβασία.**

***Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες.***

**Κοντάκιον τοῦ Ὁσίου.**

***Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ.***

Ὡς εὐσεβείας ὑποφήτην καὶ διδάσκαλον, καὶ θείας γνώσεως ἀσύλητον θησαύρισμα, ἀνυμνοῦμέν σε ἀγλάϊσμα μοναζόντων· ἀλλ᾽ ὡς γνώμων ἀκριβέστατος ἀσκήσεως, καθοδήγησον ἡμᾶς πρὸς βίον ἄληκτον, τοὺς κραυγάζοντας· Χαίροις, πάτερ Νικόδημε.

**Ὁ Οἶκος.**

Ἄριστος ὑφηγήτωρ, εὐσεβείας ἐπώφθης, Νικόδημε Ὁσίων φαιδρότης· νικηφόρους ἀγῶνας γὰρ σύ, διεξάγων κατὰ τοῦ δεινοῦ ὄφεως, τὸν νοῦν κακῶν ἐκάθηρας· διό σοι ἐκβοῶμεν ταῦτα·

Χαῖρε, λειμὼν διδαγμάτων θεῖος,
χαῖρε, ψυχῶν κλονουμένων τεῖχος.
Χαῖρε, φοιτητῶν σου κανὼν ἀπλανέστατος,
χαῖρε, ἀρετῶν ῥοδεὼν εὐωδέστατος.
Χαῖρε, στόμα θεοκίνητον κατευφραῖνον μοναστάς,
χαῖρε, ὄμμα γαληνότατον τὸ οἰκτίρον ἀσκητάς.
Χαῖρε, ὅτι ἐκλάμπεις φωτισμοῦ θείου χάριν,
χαῖρε, ὅτι ἐκλύεις τοῦ δολίου τὴν μῆνιν.
Χαῖρε, ὁλκὰς ἠθῶν τῆς σεμνότητος,
χαῖρε, λαμπὰς ἀῤῥήτου φαιδρότητος.
Χαῖρε, φωτὸς τοῦ ἀκτίστου ὁ μύστης,
χαῖρε, παντὸς εὐσεβοῦς ὁ προστάτης.

**Χαίροις, πάτερ Νικόδημε.**

**Συναξάριον.**

Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων τῆς ἐν Χαλκηδόνι Ἁγίας καὶ Οἰκουμενικῆς Τετάρτης Συνόδου.

### Στίχοι.

Πόλου νοητοῦ ἀστέρες σελασφόροι,
Ἀκτῖσιν ὑμῶν φωτίσατέ μοι φρένας.
Θεοῦ Λόγου σάρκωσιν ἀψευδεστάτην,
Ὁ φάσμα φάσκων Εὐτυχὴς καθηρέθη.

Θεοδοσίου τοῦ υἱοῦ Ἀρκαδίου τὰ σκῆπτρα ἰθύνοντος, γέγονέ τι τοιοῦτον· Εὐτύχιος γάρ τις, Μοναχὸς καὶ Πρεσβύτερος, ἀρχηγὸς αἱρέσεως κατέστη, λέγων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μιᾶς φύσεως εἶναι, καὶ μιᾶς ἐνεργείας· ὅς καὶ καθαιρεῖται ὑπὸ Φλαβιανοῦ τοῦ τῆς Κωνσταντινουπόλεως Προέδρου, καὶ τῶν λοιπῶν ὀρθοδόξων. Ὁ δὲ Εὐτύχιος, χρησάμενος βοηθοῖς τοῖς τοῦ Βασιλέως ἀθέοις εὐνούχοις, οὐκ ἐπαύσατο στασιάζειν, καὶ ἐνέδρας ποιεῖν, μέχρις οὗ ὁ Θεοδόσιος τῶν τῇδε μετέστη. Ἐπεὶ δὲ τὴν Βασιλείαν διεδέξαντο ὅ,τε Μαρκιανὸς καὶ ἡ Πουλχερία, κελεύουσι γενέσθαι Σύνοδον Οἰκουμενικήν, εἰς ἣν καὶ συνήχθησαν τὸν ἀριθμὸν Ἐπίσκοποι ἑξακόσιοι τριάκοντα. Ἀμφότεροι δέ, ὀρθόδοξοι δηλονότι καὶ ἑτερόδοξοι, ἐγγράψαντες τὰ ἑαυτῶν φρονήματα εἰς δύο Τόμους, καὶ διανοίξαντες τὴν λάρνακα τῆς πανευφήμου Μάρτυρος Εὐφημίας, ἐπὶ τοῦ ταύτης στήθους σφραγίσαντες ἔθηκαν· καὶ μετὰ ῥητὰς ἡμέρας, εὐξάμενοι, καὶ ὑπανοίξαντες, εὗρον τὸν μὲν τῶν αἱρετικῶν Τόμον ὑπὸ τοὺς πόδας τῆς Ἁγίας ἐῤῥιμμένον, τὸν δὲ τῶν ὀρθοδόξων, ταῖς τιμίαις χερσὶν αὐτῆς κατεχόμενον. Τούτου δὲ γενομένου, ἐξέστησαν ἅπαντες, ἰδόντες τὸ τοιοῦτον θαῦμα· καὶ ἐπὶ πλεῖον στηριχθέντες τῇ πίστει, ἐδόξασαν τὸν Θεόν, τὸν ποιοῦντα καθ᾽ ἑκάστην παράδοξα καὶ ἐξαίσια πράγματα, πρὸς ἐπιστροφὴν τῶν πολλῶν καὶ ὠφέλειαν. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τῇ Ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας, ὅτε τὸν Ὅρον τῆς Δ΄ Συνόδου ἐκύρωσεν.

### Στίχοι.

Δίκαζε Μάρτυς τοῖς ὅροις, καὶ κειμένη,
Κυροῦσα πίστιν, ἧς ἐνήθλησας πόθῳ.
Θέσκελον ἑνδεκάτῃ Ὅρον ἐμπεδοῖ Εὐφημίη.

Ἡ Ἁγία αὕτη καὶ πανένδοξος Μεγαλομάρτυς Εὐφημία διέλαμψε κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ, καί Πρίσκου Ἀνθυπάτου τῆς Εὐρώπης, γέννημα καὶ παίδευμα τῆς πόλεως Χαλκηδόνος, ἐξ εὐγενῶν καὶ θεοσεβῶν γονέων καταγομένη· ἥτις, διαβληθεῖσα τῷ ἡγεμόνι ὡς χριστιανή, πυρὶ προσωμίλησε, καὶ θηρίοις ἐκδέδοται, καὶ ἑτέραις μηχαναῖς κολαστηρίων, ἅπερ γενναίως ὑπομείνασα, ἐκομίσατο τὸν τοῦ μαρτυρίου στέφανον. Τὸ δὲ ἱερὸν αὐτῆς λείψανον παρὰ τῶν εὐσεβῶν ἐν τῇ πόλει ταύτῃ Χαλκηδόνι διεσώζετο, ὅπου καὶ ναὸς περικαλλὴς ᾠκοδόμητο, εἰς τιμὴν τῆς Ἁγίας.

Ἐν τοῖς χρόνοις δὲ τῶν εὐσεβεστάτων βασιλέων Μαρκιανοῦ καί Πουλχερίας, συνεκροτήθη ἡ Τετάρτη Οἰκουμενικὴ ἱερὰ Σύνοδος τῶν ἑξακοσίων τριάκοντα ἁγίων

Πατέρων ἐν τῇ πόλει ταύτῃ τῆς Χαλκηδόνος, οἵτινες τοὺς περὶ Εὐτυχέα καὶ Διόσκορον ἀναθεματίσαντες, καὶ τοὺς μίαν φύσιν, καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ βλασφημοῦντας καθελόντες, ἐπεὶ οὐκ ἐπείθοντο, ἑτέρως τούτους μετέρχονται· δηλαδή, ἐνέγραψαν τὴν ἐκτεθεῖσαν ὀρθόδοξον πίστιν Τόμῳ, καὶ τοὺς αἱρετικοὺς προέτρεψαν ἐν ἑτέρῳ γράψαι τὸ ἑαυτῶν φρόνημα, καὶ διανοίξαντες τὴν λάρνακα τῆς πανευφήμου Μεγαλομάρτυρος Εὐφημίας, ἔθεντο ἐπὶ τοῦ ταύτης στήθους ἀμφοτέρους τοὺς τόμους ἐσφραγισμένους· καὶ μετὰ ταῦτα, παραγενόμενοι καὶ ἀνοίξαντες, τὸν μὲν τόμον τῶν αἱρετικῶν εὗρον ἐῤῥιμένον ὑπὸ τοὺς πόδας τῆς Ἁγίας, τὸν δὲ τῶν ὀρθοδόξων τόμον κατεχόμενον ὑπὸ τῆς Μεγαλομάρτυρος ταῖς τιμίαις αὐτῆς χερσίν. Ὅπερ ἰδόντες, οἱ αἱρετικοὶ μὲν αἰσχύνης, οἱ δὲ ὀρθόδοξοι χαρᾶς ἐνεπλήσθησαν.

Τοῦτο γοῦν τὸ χάριτας βρύον ἱερὸν τῆς Ἁγίας λείψανον, ἀκέραιον ἐκ Χαλκηδόνος μετεκομίσθη ἐν Κωνσταντινουπόλει πρὸ τῆς ἁλώσεως αὐτῆς, ὅπου καὶ ὁ τότε ἀοίδιμος ἐν Πατριάρχαις Καστῖνος, ἐν αὐτῷ τῷ Βυζαντίῳ εὐκτήριον ἤγειρε ναόν, εἰς τιμὴν τῆς Ἁγίας, ἄρτι κοσμηθείσης μαρτυρίου στεφάνῳ. Γενομένης δὲ τῆς ἁλώσεως, μετατεθέντων πάντων τῶν ἱερῶν λειψάνων ἐν τῷ πανσέπτῳ ναῷ τῶν Ἁγίων Ἀποστόλων, ἐν ᾧ ὑπῆρχε τότε τὸ Πατριαρχεῖον, μετετέθη καὶ τὸ τῆς Ἁγίας ἐκεῖ. Κἀκεῖθεν, μετατεθέντος τοῦ Πατριαρχείου ἐν τῶ ἱερῷ ναῶ τῆς Παναχράντου, μετεκομίσθη σὺν τοῖς λοιποῖς καὶ τὸ τῆς Ἁγίας ἱερὸν λείψανον ἐκεῖ. Μετατεθέντος δὲ ἐκεῖθεν τοῦ Πατριαρχείου ἐν τῷ πανσέπτῳ ναῶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, μετηνέχθη καί τὸ ἱερὸν τῆς Ἁγίας λείψανον ἐν αὐτῷ, ὅπερ, θείᾳ εὐδοκίᾳ, διασώζεται μέχρι τῆς σήμερον, τιμώμενον καὶ σεβόμενον, οὐ μόνον παρὰ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, ἀλλὰ καὶ παρὰ τῶν ἑτεροδόξων, βρύον ἰάματα τοῖς μετ᾽ εὐλαβείας προσερχομένοις.

Καθιερώθη δὲ ἐν τῷ ῥηθέντι πανσέπτῳ ναῷ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου ἐν τοῖς δεξιοῖς μέρεσι καὶ παρεκκλήσιον ἐπ᾽ ὀνόματι τῆς Ἁγίας Μεγαλομάρτυρος Εὐφημίας, ἔνθα κατατεθειμένον ἐστὶ καὶ τὸ ἱερὸν αὐτῆς λείψανον, καθ᾽ ὃν καιρόν, ἐπὶ τῆς πρώτης πατριαρχείας τοῦ Παναγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Κυρίου Γρηγορίου ἐκ βάθρων ἀνῳκοδομήθησαν τὰ Πατριαρχεῖα, καὶ αἱ λοιπαὶ ἐν τῇ Πατριαρχικῇ αὐλῇ οἰκοδομαί. Τελεῖται δὲ ἡ μνήμη καὶ πανήγυρις τῆς Ἁγίας κατὰ τὴν ια´ τοῦ Ἰουλίου, καθ᾽ ἣν συναθροίζονται τὰ πλήθη τῶν ὀρθοδόξων, ἀνδρῶν τε καὶ γυναικῶν, τῆς τε Κωνσταντινουπόλεως καὶ τῶν περιχώρων αὐτῆς, καὶ πολλοὶ ἐκ τῶν ἑτεροδόξων· καὶ οἱ μετ᾽ εὐλαβείας προσερχόμενοι, καὶ ἀσπαζόμενοι τὸ ἱερὸν αὐτῆς λείψανον, ἀξιοῦνται πολλῶν ἰαμάτων.[3]

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Κινδέου τοῦ Πρεσβυτέρου.

**Στίχοι.**

Οὐκ ἄξιόν τι καύσεως ὅλως ἔχων,
Σωθεὶς πυρὸς τέθνηκας οὕτω, Κινδέε.

---

[3] Σημείωσαι ὅτι ὑπόμνημα συνέγραψεν εἰς τὴν ἔνδοξον ταύτην καὶ Μεγαλομάρτυρα Εὐφημίαν (ὁ Βατοπαιδινὸς Ὅσιος) Μακάριος ἱερομόναχος ὁ Μακρῆς, οὗ ἡ ἀρχὴ «Ἀλλὰ πῶς ἄν τις μᾶλλον...» (σώζεται ἐν τῷ πέμπτῳ Πανηγηρικῷ τῆς Ἱερᾶς Μονῆς τοῦ Βατοπαιδίου).

**Ὁ** Ὅσιος Λέων, ὁ ἐν τῇ Μάνδρᾳ, ἐν εἰρήνῃ τελειοῦται.

**Στίχοι.**

**Ἐ**κ γῆς ἀπελθὼν ἐντρυφᾷ τερπνοῖς Λέων,
**Ὧ**ν εἶχεν ἐν γῇ τὰς ἀποῤῥοίας πάλαι.

**Οἱ** Ἅγιοι Μάρτυρες Μαρκιανὸς καὶ Μαρτυροκλῆς, ὁ μὲν μαχαίρᾳ, ὁ δὲ τοξευθείς, τελειοῦνται.

**Στίχοι.**

**Ὑ**πῆρξε θήκη, Μαρκιανέ, σὸς φάρυγξ,
**Χ**ωροῦσα τὴν μάχαιραν, ᾗ κατεκρίθης.
**Ὁ** Μαρτυροκλῆς Μαρτύρων εὗρε κλέος,
**Μ**άρτυς φανεὶς ἄριστος ἐκ τοξευμάτων.

**Τ**ῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Νικόδημος, ὁ ἐν τοῖς ὁρίοις τῆς τοῦ Βατοπαιδίου ἱερᾶς Μονῆς ἀσκήσας, καὶ διδάσκαλος τοῦ θείου Γρηγορίου τοῦ Παλαμᾶ χρηματίσας, διὰ τῆς κατὰ Χριστὸν φιλοσοφίας, ἐν εἰρήνῃ τελειοῦται.

**Στίχοι.**

**Π**ῶς ἀγέραστον καταλίπω τοῖς λόγοις,
**Τ**ὸν Νικόδημον, ᾧ γέρας νῆψις νόου;
**Θ**εωρίᾳ καὶ πράξει κοσμήσας σου τὸν βίον,
**Ἐ**γένου, Νικόδημε, πατὴρ πατέρων.

**Ὁ** Ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Νικόδημος (κατὰ κόσμον Νικηφόρος), «*ἀνὴρ θαυμαστὸς κατὰ πράξιν καὶ θεωρίαν*» (κατὰ τὸν Ἅγιον Φιλόθεον Κόκκινον) καὶ τῆς νοερᾶς προσευχῆς ἐραστής, ἠσκήθη πρότερον θεαρέστως εἰς τὸ ὄρος τοῦ Αὐξεντίου, τὸ κείμενον πλησίον τῆς Χαλκηδόνος. Ὕστερον προσῆλθεν εἰς τὸ Ἅγιον Ὄρος καὶ διέμεινεν ἐν τοῖς ὁρίοις τῆς Μονῆς τοῦ Βατοπαιδίου. Φθάσας δὲ εἰς ὕψος ἀρετῶν, δοχεῖον γέγονε τοῦ ἀκτίστου φωτὸς καὶ καθηγητὴς ἐχρημάτισε πληθύος μοναστῶν, ἐν οἷς καὶ τοῦ Ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ, ὅστις ἀγασθεὶς τὴν αὐτοῦ ἀρετὴν ὑπετάγη εἰς αὐτόν. Θείᾳ χάριτι οὖν ἐλλαμπόμενος καὶ πολλοὺς φωτίσας καὶ ὁδηγήσας εἰς σωτηρίαν ἀνεπαύθη ἐν Κυρίῳ τρία ἔτη μετὰ τὴν εἰς αὐτὸν ὑποταγὴν τοῦ Ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ, ἤτοι περὶ τὸ 1320.

**Ὁ** Ἅγιος Νέος Ὁσιομάρτυς Νικόδημος, ὁ ἐν Ἐλβασανίῳ τῆς Ἀλβανίας μαρτυρήσας ἐν ἔτει ,αψκβ΄ (1722), ξίφει τελειοῦται.

**Στίχοι.**

Ὁ Νικόδημος ῥάβδον ἐν χερσὶ φέρων,
Πλάνην πατάσσει Ἀγαρηνῶν ἀνόμων.

Ὁ Ἅγιος Νέος Ὁσιομάρτυς Νεκτάριος, ὁ ἐκ Βρυούλλων, ὁ μαρτυρήσας ἐν ἔτει ,αωκ΄ (1820), μαχαίρᾳ τελειοῦται.

**Στίχοι.**

Νέκταρ τῆς ζωῆς τῆς ἀθανάτου πίνεις,
Νεκτάριε ἔνδοξε, στεῤῥῶς ἀθλήσας.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς Ἁγίας ἰσαποστόλου βασιλίσσης Ὄλγας, τῆς διὰ τοῦ ἁγίου βαπτίσματος μετονομασθείσης Ἑλένης.

**Στίχοι.**

Ἄνθραξ νοητὸς ἡ Ὄλγα ἐν Ῥωσσίᾳ,
Ὤφθη, τῆς ὕστερον φλογὸς ζωηφόρου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄.**

**Τῶν Πατέρων. Ὁ Εἱρμός.**

***Σὲ νοητήν, Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί· ὡς γὰρ παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.***

Cὲ τὸν Υἱόν, τοῦ Θεοῦ καὶ ἄνθρωπον, κατανοήσαντες χοροί, θεολόγων Δέσποτα πρίν, κόσμῳ σε ἐκήρυξαν, διπλοῦν ταῖς θελήσεσι, καὶ ἐνεργείαις φιλάνθρωπε, σοῦ τὸ διπλοῦν ἑκατέρων, τῶν φύσεων πιστούμενοι.

Κόσμος λαμπρός, Ἐκκλησίας ὤφθητε· τῶν Ἀποστόλων γὰρ καλῶς, ἐκδεξάμενοι τὰ θεσμά, πάντας ἐδιδάξατε, λόγον τὸν τῆς πίστεως, τριαδικὸν ἕνα Κύριον, δημιουργὸν ἐνεργόν, θελητικὸν παντοδύναμον.

Ἄκτιστον φῶς, καὶ ζωὴν ἀθάνατον, κατανοήσαντες Θεόν, ὑπὲρ ταῦτα τοῦτον καλῶς, πᾶσιν ἐκηρύξατε, φύσεως κατώτερα, τὰ φυσικὰ ἰδιώματα, τὰ συμφυῆ ἐγνωκότες, ὁμοῦ καὶ ἀδιαίρετα.

Θείου φωτός, ἀστραπὰς ἐξέπεμψεν, ὑμᾶς εἰς κόσμον ὁ Χριστός, τοὺς τῆς πλάνης δημιουργούς, ἄρδην καταφλέγοντας· πᾶσαν δὲ φωτίζοντας, τὴν Ἐκκλησίαν μακάριοι, τὸν αἰνετὸν ἀνυμνοῦντας, Θεὸν καὶ παντοδύναμον.

**Θεοτοκίον.**

Ἔλαμψε φῶς, ὁ Χριστὸς ἀνέσπερον, ἐκ σῆς νηδύος προελθών, καὶ τὸν κόσμον ἔσωσε πρίν, ὁ ὑπερυψούμενος· ὅν περ καθικέτευε, Θεογεννῆτορ φωτίσαι μου, τῆς σκοτισθείσης καρδίας, τὰ νοούμενα ὄμματα.

**Τῆς Μεγαλομάρτυρος.** ***Οὐκ ἐλάτρευσαν.***

Ῥᾷον ἔφερες, βασάνων τὴν δριμύτητα, Μάρτυς πανεύφημε, ἐν στεῤῥοτάτῳ νοΐ, ἐξ ὕψους λαμβάνουσα, θείαν βοήθειαν· ὅθεν ἔψαλλες· Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἡ πανεύφημος, ἀμνὰς καὶ καλλιπάρθενος, πάντας ἐκάλεσε, πρὸς εὐωχίαν αὐτῆς· διὸ καὶ εὐφράνθητε, πανηγυρίζοντες, καὶ κραυγάσατε· Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Σὺ διήλεγξας, τοῦ Εὐτυχοῦς τὴν ἄνοιαν, τοῦ δυστυχήσαντος, περὶ τὸ σέβας κακῶς, δεινοῦ Διοσκόρου τε, Μάρτυς πανεύφημε, ἀναμέλπουσα· Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Ἰλεών μοι, τὸν Υἱόν σου Παναμώμητε, ποίησον δέομαι, καὶ μὴ παρίδῃς σεμνή, δεήσεις καὶ δάκρυα, θερμῶς προχέοντι, καὶ κραυγάζοντι· Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**Τοῦ Ὁσίου.** ***Ὁ αὐτός.***

Ξίφει γλώττης σου, τοῦ παμμιάρου ἔτρωσας, τὰ κέντρα Ὅσιε, καὶ φυλακὴν τοῦ νοός, τηρήσας Νικόδημε, ἀπαύστως ἔψαλλες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἱλαρότατος, τοῖς τρόποις καὶ μειλίχιος, τῇ ὄψει πάνσοφε, καὶ τοῖς σοῖς λόγοις ἡδύς, ἐφαίνου Νικόδημε, τοῖς προσιοῦσί σοι, αἰτουμένοις τε, πνευματικὴν βοήθειαν, μονασταῖς τοῦ Ὄρους Ἄθω.

*Δόξα Πατρί ...*

Ὤφθης πρόβολος, καθηγητῶν Νικόδημε, καὶ κῆρυξ ἔνθεος, ἀληθειῶν τοῦ Χριστοῦ· διὸ καὶ τῇ κέλλῃ σου, πιστῶς προσέτρεχον, οἱ μονότροποι, τοῦ Ἄθω καὶ ἡδύνοντο, σοῦ τοῖς ῥήμασιν ἀκούειν.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Στῦλε ἄσειστε, χαρᾶς βροτῶν ὑμνοῦμέν σε, Ἀντιφωνήτρια, καὶ θαυμασίων πληθύν, τὴν σὴν ἀναμέλποντες, ᾠδαῖς κραυγάζομεν· λύπης δίωξον, ἀχλὺν ἡ ὁμιλήσασα, τῇ ἀνάσσῃ Πλακιδίᾳ.

**Καταβασία.**

***Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.***

**Ὠδὴ η΄.**

**Τῶν Πατέρων. Ὁ Εἱρμός.**

***Ἐν καμίνῳ Παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ ἀπέστιλβον ψάλλοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.***

Ἀποστόλων τε καὶ Προφητῶν, ὡς ἐξ ὁρμητηρίου, Πατέρες κεκινημένοι, τῆς ἐνθέου διδαχῆς, ἐκήρυξαν λέγοντες· Εἷς ὑπάρχει Κύριος πάντων, Χριστὸς ἐν ὑποστάσει, διπλοῦς τὰς φύσεις, ὁμοῦ καὶ ἐνεργείας.

Ἵνα πλάνην πᾶσαν ἀναιδῆ, καλῶς καὶ βλασφημίαν, Πατέρες τῆς Ἐκκλησίας, ἐξορίσωσιν ὁμοῦ, ἐνέργειαν θέλησιν οὐσιώδη, ἄκτιστον φέρειν τὸν Κύριον ἀνεῖπον, τὴν κτιστὴν δὲ πάλιν, ὡς Ἄνθρωπον καὶ Κτίστην.

Ῥῆμα θεῖον σχόντες ἐν χερσί, Πατέρες ὥς περ ξίφος, ἐχθροὺς τοὺς τῆς εὐσεβείας, κατεπλήξατε καλῶς, ἐνέργειαν θέλησιν τοῦ Σωτῆρος, πάντα τε τούτου τὰ φυσικὰ προσφόρως, διπλᾶ προσειπόντες, καθάπερ καὶ τὰς φύσεις.

### Θεοτοκίον.

Ὅλη Κόρη ὅλη εἶ καλή, ὅλη φωτοειδής τε φωσφόρος καὶ θεοφόρος, ὅλη μόνη καὶ λαμπρά· διό μου τὰ ὄμματα τῆς καρδίας φώτισον, πνέοντος Δέσποινα, τὴν δόξαν σου καὶ τετρωμένου, τῷ πρὸς ἐκείνην πόθῳ.

### Τῆς Μεγαλομάρτυρος. *Παῖδας εὐαγεῖς.*

Ἔστης πρὸ βημάτων Εὐφημία, τυράννων παρανομούντων ἀνδρικώτατα, τὸν Χριστὸν κηρύττουσα, Θεόν τε καὶ ἄνθρωπον, διπλοῦν ἐν ταῖς θελήσεσιν, ἅμα καὶ φύσεσι, καὶ κράζουσα· Ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὕλην γεηρὰν ἀπεποιήσω, Χριστὸν τὸν νυμφίον σου ἐπιποθήσασα, οὗτινος τοῖς ἴχνεσι, Μάρτυς ἠκολούθησας· διὸ καὶ συναγάλλῃ νῦν, αὐτῷ κραυγάζουσα· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Φρίττω κατὰ νοῦν ἀναλαμβάνων, τοὺς πόνους σου τοὺς δεινοὺς καὶ τὰ παλαίσματα, οἷς ἐνεκαρτέρησας, γυναικείῳ σώματι, διὰ πολλὴν ἀγάπησιν, Μάρτυς πανεύφημε, Πατρός τε καὶ Υἱοῦ καὶ τοῦ θείου, Πνεύματος τοῦ μόνου, Θεοῦ τρισυποστάτου.

### Θεοτοκίον.

Ὅρμος γαληνὸς μόνη ἐδείχθης, Παρθένε χειμαζομένων καὶ προσφύγιον, ἔνθα καταφεύγοντες, οἱ κλυδωνιζόμενοι, ἐν τῷ τοῦ βίου κλύδωνι, περισωζόμεθα· διό σε κατὰ χρέος ὑμνοῦμεν, καὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

### Τοῦ Ὁσίου. *Ὁ αὐτός.*

Ὕδωρ βρύων θείας εὐφροσύνης, καρδίας τῶν μοναστῶν τὰς εὐσεβόφρονας, τὰς διψώσας ἤρδευες, καὶ πηγῇ τῶν λόγων σου, προστρέχοντας ἀνέψυχες, σοφὲ Νικόδημε, καὶ σπείρων μετανοίας τὸν σπόρον, ταῖς ψυχαῖς θεόθεν, καρπὸν πολὺν ἐδρέψω.

Μύστης γεγονὼς τῆς ἐγκρατείας, τὰ ἄνω φρονεῖν ἐδίδασκες Νικόδημε, ἅπασι τοῖς ἔργοις σου, καὶ πανσόφοις λόγοις σου, καὶ διαπλεῖν προέτρεπες, αὐτοὺς τὸ πέλαγος, τοῦ βίου τοῦ παρόντος ἠρέμως, ἵνα πρὸς λιμένα, προσορμισθῶσι θεῖον.

*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν.*

Νόμους ἀναπτύσσων εὐσεβείας, ἐν πνεύματι θείῳ Πάτερ τῷ σοφίσαντι, σὲ πρὸς γνῶσιν κρείττονα, ἀνεπτέρους φρόνημα, τῶν φοιτητῶν σου Ὅσιε, Χριστοῦ Νικόδημε, μονήρους πολιτείας ὢν τύπος, καὶ τῶν ἐνταλμάτων, τῶν θείων ὑφηγήτωρ.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Ἔλεος τὸ θεῖον τοῦ Υἱοῦ σου, κατάπεμψον Ἐσφαγμένη τοῖς ἱκέταις σου, ὥς ποτε ἱλέωσας, τὸν σὲ κατατρώσαντα, μαχαίρᾳ Μῆτερ ἄχραντε, ἀχρεῖον δοῦλόν σου, ἐν Μάνδρᾳ Βατοπαιδίου μεγίστῃ, δείξασα τὴν τρίβον, αὐτῷ τῆς μετανοίας.

**Καταβασία.**

*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

***Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.***

## Ὠδὴ θ΄.

## Τῶν Πατέρων. Ὁ Εἱρμός.

***Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος· καὶ νῦν καθ' ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν. (ἅπαξ).***

Ἔχοντες Χριστὸν μακάριοι, ἐν ἑαυτοῖς τὰ θεῖα πάλαι λαλήσαντα· καὶ νῦν καθαρῶς, τῷ καθαρῷ συναπτόμενοι, τὴν αὐτοῦ Ἐκκλησίαν στηρίξατε, ἣν πόνοις καὶ ἱδρῶσι, μεγίστοις ὄντως συνεστήσατε.

Τύπος καὶ κανὼν γεγόνατε, τῇ Ἐκκλησίᾳ πάσῃ Θεοῦ τρισόλβιοι, σάρκωσιν Χριστοῦ, θεολογεῖν ἐκδιδάξαντες, τῆς ἀκτίστου μιᾶς τε Θεότητος, τὴν νῦν τε γλωσσαλγίαν, προφητικῶς ἀποκρουσάμενοι.

Ἅπαν δυσσεβείας πρόβλημα, προφητικῶς Πατέρες καλῶς ἐλύσατε, τὴν διαφοράν, τῆς ἐνεργείας διδάξαντες, φυσικὴν ἀδιαίρετον ἄκτιστον, ἀξίως προσειπόντες, καὶ παντουργὸν καὶ παντοδύναμον.

Στόμα τοῦ Θεοῦ γενόμενοι, ταῖς ἐνεργείαις μόναις καὶ ταῖς ἐκλάμψεσι, μεθεκτὸν αὐτόν, ὡς ἀγαθὸν ἐκηρύξατε, τὸν τῇ φύσει ἀπρόσιτον Ἅγιοι· ὅθεν ὑμᾶς ἀξίως, ὡς εὐεργέτας μακαρίζομεν.

**Θεοτοκίον.**

Σύ μοι τῆς ᾠδῆς πανύμνητε, καὶ κορωνὶς χρυσῆ καὶ θεῖον συμπέρασμα· ἥν περ τῆς φυγῆς, ἐπανελθὼν νῦν ἀνέθηκα, τῷ Υἱῷ σου σεμνὴ χαριστήριον, τὸν ὕμνον σοι συνάγων, ὡς τῶν καλῶν αἰτίᾳ Πάναγνε.

**Τῆς Μεγαλομάρτυρος.** *Ἅπας γηγενής.*

Νοῦς οὐκ ἐξαρκεῖ, καὶ λόγος ἀνθρώπινος ἐκδιηγήσασθαι, τὰς ὑπερφυεῖς τιμάς, καὶ δόξας Μάρτυς, ἅς περ ἀπείληφας, συμβασιλεύειν ἄληκτα Χριστῷ πανεύφημε· κατ᾽ ἀξίαν, ἄθλων δὲ κεκλήρωσαι, ἀκηράτου τρυφῆς ἀπολαύουσα.

Μύρῳ νοητῷ, ἐχρίσθης πανεύφημε τοῦ θείου Πνεύματος, καὶ μυρίζεις πάντοτε, τῶν προσιόντων σοι μετὰ πίστεως, ψυχὰς ὁμοῦ καὶ σώματα, καὶ πᾶσαν αἴσθησιν, δι᾽ ἧς πόῤῥω, ἀποσκορακίζεται, ὁ δυσώδης ἐχθρὸς καὶ παμπόνηρος.

Ἱεροπρεπῶς, τὴν σὴν ἀξιάγαστον πανηγυρίζομεν, καὶ φαιδρὰν πανήγυριν, ἐν τῷ πανσέπτῳ ναῷ σου σήμερον, ἐν ᾧπερ συνηθροίσθημεν χειραγωγίᾳ πολλῇ, τοῦ ποιμένος, τοῦ καλοῦ πανεύφημε, ὑπὲρ οὗ ἐκδυσώπει τὸν Κύριον.

**Τριαδικόν.**

Ἄναρχε Τριάς, τοὺς θεολογοῦντάς σε σκέπε καὶ φύλαττε· ἔχεις γὰρ πρεσβεύουσαν, περὶ τὴν δόξαν τῆς σῆς λαμπρότητος, μετὰ Μαρτύρων πάντοτε τὴν καλλιπάρθενον, Εὐφημίαν, ἧς περ τὰ μνημόσυνα, ἐκτελοῦντες πιστῶς εὐφραινόμεθα.

**Θεοτοκίον.**

Ἆσμά σοι ἁγνή, προσάγομεν Δέσποινα πόθῳ βοῶντές σοι· Χαῖρε θρόνε πύρινε, ὑψίστου χαῖρε Θεοῦ παλάτιον· ὃν ὁ Δαυῒδ προέγραψεν ὄρος πιώτατον· Ἀποστόλων, χαῖρε ἡ εὐπρέπεια, καὶ ἡμῶν τῶν ψυχῶν τὸ διάσωσμα.

### Τοῦ Ὁσίου. *Ὁ αὐτός.*

Ἴσθι βοηθός, ἡμῶν τῶν φιλούντων σε, σεπτὲ Νικόδημε, ὡς πατέρα εὔσπλαγχνον, ἀζύγων τύπον τε καὶ διδάσκαλον, καὶ εὐμενῶς δεξάμενος, ἡμῶν τὴν αἴνεσιν, ἣν ὡς δῶρον, τῇ ἁγίᾳ μνήμῃ σου, σοὶ προσάγομεν, σῶζε πρεσβείαις σου.

Στάμνος ἀρετῶν, ἐπώφθης Νικόδημε, καὶ σκεῦος ἔμπλεον, φωτισμοῦ καὶ νήψεως· διό σε πάντες οἱ ἐν τῷ Ἄθωνι, ἀσκούμενοι τιμῶμέν σε, καὶ σὺν τῷ τέκνῳ σου Γρηγορίῳ, Παλαμᾷ κραυγάζομεν· Ἀεννάου εὐχῆς χαῖρε σέμνωμα.

Θείων δωρεῶν, ταμεῖον Νικόδημε, δειχθεὶς ἐστήριξας, τοὺς προσερχομένους σοι, ἐν τοῖς ἁγίοις, Χριστοῦ διδάγμασι, καὶ ἐν ἀγάπῃ ἔπιθες, αὐτοὺς τὸν Κτίσαντα, καθ' ἑκάστην, ἀνυμνεῖν τὸν ἅπασι, χορηγοῦντα εἰρήνην καὶ δύναμιν.

*Δόξα Πατρί ...*

Ὥσπερ κοινωνόν, τῆς δόξης τῆς ἄνωθεν, σὲ νῦν γεραίροντες, Ὅσιε Νικόδημε, ἐπιτελοῦμεν τὴν θείαν μνήμην σου, καὶ ἐκβοῶμεν· Λύτρωσαι, ἡμᾶς κακώσεων, καὶ πρὸς δόμους, οὐρανίους ἴθυνον, τοὺς τιμῶντας τὴν πάνσεπτον μνήμην σου.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Χάριτος ἡμᾶς, τῆς θείας πανύμνητε, Κυρία ἔμπλησον, τοὺς σὲ μεγαλύνοντας, Ἐλαιοβρύτις ἡ πίθους πλήσασα, ἐλαίου καὶ τὴν Μάνδραν σου, ἐν περιστάσεσι, συντηροῦσα, ἵνα μεγαλύνωμεν, εἰς αἰῶνάς σε πάντες Μητρόθεε.

### Καταβασία.

***Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.***

### Ἐξαποστειλάρια.

### Τῆς Μεγαλομάρτυρος. *Ἦχος γ΄. Ἐπεσκέψατο ἡμᾶς.*

Καὶ θανοῦσα ζωηρόν, αἱμάτων μύρον ἔβλυσας, ὡς ἐν Θεῷ ζῶντι ζῶσα, καὶ τῶν δογμάτων τοῦ Χριστοῦ, τὰς πλάκας ταῖς ἀγκάλαις σου, Εὐφημία κατέχεις· διὸ εὐφημοῦμέν σε.

**Τοῦ Ὁσίου.** ***Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.***

Θεοειδὴς διδάσκαλος, καὶ πρύτανις θεόσοφος, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἐπώφθης τίμιε Πάτερ, Νικόδημε· διόπερ σε, ὡς Παρακλήτου ὄργανον, πιστῶν χοροὶ τιμῶσί σε, καὶ θεοστήρικτον βάθρον, σωτηριώδους σοφίας.

**Θεοτοκίον.**

Ἐν δύο ταῖς θελήσεσι, καὶ φύσεσι Πανάμωμε, μιᾷ δὲ τῇ ὑποστάσει, τίκτεις Θεὸν ἀποῤῥήτως, τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα, μέχρι Σταυροῦ θελήματι, καὶ ἡμῖν χαρισάμενον, τὸν τῆς Θεότητος πλοῦτον, τῇ ἐκ νεκρῶν Ἀναστάσει.

**Εἰς τοὺς Αἴνους. Ἱστῶμεν Στίχους ϛ΄.**
**Ψάλλομεν δὲ Στιχηρὰ προσόμοια τῆς Μεγαλομάρτυρος γ΄.**
***Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.***

Χαίροις παρθενομάρτυς Χριστοῦ, ἡ ἐξ Ἑῴας ὡς ἀστὴρ ἀνατείλασα, καὶ πᾶσαν τὴν οἰκουμένην, φωταγωγοῦσα φαιδρῶς, ψυχῆς διαυγείᾳ καὶ φαιδρότητι· δι᾽ ἧς θεῖον θέσπισμα, τῶν Πατέρων κεκύρωται, καὶ κατηργήθη, Εὐτυχοῦς γλῶσσα βλάσφημος. Διοσκόρου τε, τοῦ δεινοῦ καὶ παράφρονος. Χαίροις ἡ ἀποστάζουσα, κρουνοὺς τῶν αἱμάτων σου, καθαρτικοὺς μολυσμάτων, ἐκ τῶν ἁγίων λειψάνων σου, Χριστοῦ τῇ δυνάμει, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δεῦτε τῆς ἀθληφόρου Χριστοῦ, μετ᾽ ἐγκωμίων τελουμένην πανήγυριν, ὁρῶντες συνευφρανθῶμεν πνευματικῶς ἐν χαρᾷ, καὶ πανευφροσύνως ἑορτάσωμεν· αὐτὴ γὰρ κατέβαλε, τὸ ἀγέρωχον φρόνημα, τῶν τυραννούντων, τῇ δυνάμει τοῦ Πνεύματος· ὅθεν ἤρατο, κατ᾽ αὐτῶν μέγα τρόπαιον. Ταύτην οὖν εὐφημήσωμεν, εὐφήμοις ἐν ᾄσμασι, τὴν καλλιπάρθενον κόρην, τῆς εὐφημίας φερώνυμον, Χριστὸν δυσωποῦντες, τοῦ δωρήσασθαι τὸ κόσμῳ τὸ μέγα ἔλεος.

Ὅρους παραλαβοῦσα σεμνή, ἔνδον τοῦ τάφου εὐσεβῶν κακοδόξων τε, κατεῖχες ἐν ταῖς χερσί σου, ὃν οἱ Πατέρες καλῶς, ἄνωθεν πνευσθέντες συνεξέθεντο· τὸν δὲ κατεπάτησας, ὡς ψευδῆ καὶ ἀντίθεον, τῶν κακοδόξων, οὓς εἰς τέλος κατῄσχυνας· ὅθεν ἅπαντες, εὐσεβῶς εὐφημοῦμέν σε, χαίροντες ἐν τῇ μνήμῃ σου, οὓς μάρτυς ὁ πρόεδρος ὁ ἱερὸς

Βυζαντίων, ἐπισυνήγαγε σήμερον· διὸ τὸν Σωτῆρα, ἐκδυσώπησον δοθῆναι τὸ μέγα ἔλεος.

**Καὶ τοῦ Ὁσίου, ἕτερα γ΄.**

***Ἦχος πλ.δ΄. Τί ὑμᾶς καλέσωμεν ἅγιοι.***

Τί σε ὀνομάσω Νικόδημε; λαμπηδόνα μυστικήν, ἀδιαλείπτου προσευχῆς, ἀδιάσειστον κρηπῖδα, τῆς ἐνθέου βιοτῆς, λειμῶνα, εὐσεβείας εὐωδέστατον, λιμένα, τρυχομένων γαληνότατον, θεοσοφίας κειμήλιον, καὶ ταμειοῦχον τῆς χάριτος; Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Στίχ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.***

Τί σε ὀνομάσω Νικόδημε; φυτοκόμον ἀρετῶν, τῶν ἀθανάτων καὶ τερπνῶν, ῥιζοτόμον τῶν πταισμάτων, νοητῶν καὶ πρακτικῶν, εἰκόνα, θεοτύπωτον ἀσκήσεως, κανόνα, ἀκριβέστατον συνέσεως, ζωῆς ἀμέμπτου διδάσκαλον, καὶ Ὄρους Ἄθω τὸ σέμνωμα; Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Στίχ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.***

Τί σε ὀνομάσω Νικόδημε; παναμώμου βιοτῆς, ὡς ὑποφήτην θαυμαστόν, τῆς τοῦ Πνεύματος φωνῆς, ὡς στόμα ὄντως θεϊκόν, κρατῆρα, νέκταρ φέροντα ἀθάνατον, φωστῆρα, τῶν τῆς χάριτος μυήσεων, λαμπάδα θείων ἐλλάμψεων, καὶ τῆς Χριστοῦ πέτραν πίστεως; Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***Δόξα...* Τοῦ Ὁσίου. *Ἦχος πλ. α΄.***

Ἀνδρικῶς τροπωσάμενος, τὸν μισόκαλον δαίμονα, καὶ τὰς τῆς σαρκὸς ἐνσκιρτήσεις μαράνας, ἀσιτείᾳ καὶ δάκρυσιν, ἀγγελικὴν μετῆλθες πολιτείαν Ὁσιώτατε· σὺ οὖν ταῖς διδαχαῖς σου στηρίξας, τῷ φόβῳ τοῦ Κυρίου, τοὺς προσιόντας σοι μονοτρόπους, σκεῦος τοῦ Παρακλήτου ὤφθης λαμπρότατον, καὶ ἄγγος αὐτοῦ μυροβόλον Νικόδημε. Ὅθεν τῷ θρόνῳ τοῦ παμβασιλέως Χριστοῦ παριστάμενος, καὶ ταῖς ἀΰλοις χοροστασίαις συνών, μέμνησο καὶ ἡμῶν, τῶν τελούντων ἀσμένως, τὴν ἀεισέβαστον μνήμην σου.

***Καὶ νῦν...* Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἀῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὴν Λειτουργίαν.**
**Τὰ Τυπικά, καὶ εἰς τοὺς Μακαρισμοὺς ἱστῶμεν στίχους ιβ΄ λέγοντες·**

**Ὠδὴ γ΄.**
**Τῶν Πατέρων.** *Ἦχος α΄. Ὁ μόνος εἰδώς.*

Ἡ πρώτη πηγὴ τῶν ἀγαθῶν, ἡ χάρις ἡ τοῦ Πνεύματος, ὥς ποταμοὺς ὑμᾶς ἀνεστόμωσε, τὴν πλάνην ἔνδοξοι κατασύροντας, καὶ πιστοὺς ποτίζοντας, εὐσεβείας νάματα, Προφητῶν, Ἀποστόλων τὸ κήρυγμα.

Σέργιον καὶ Πύῤῥον τοὺς δεινούς, προστάτας τῆς αἱρέσεως, Παῦλον καὶ Πέτρον καὶ τὸν Θεόδωρον, γενναίως ἅμα σοφοὶ καθείλετε, τὴν σεπτὴν στηρίξαντες, Ἐκκλησίαν ἔνδοξοι, Ἀποστόλων, Πατέρων τοῖς δόγμασιν.

Ἀνάρχου Θεότητος τρανῶς, ἐνέργειαν συνάναρχον, οἱ θεοφόροι ἀνακηρύξαντες, κτιστὴν ἐδίδαξαν τὴν ἐνέργειαν, τοῦ κτιστοῦ προσλήμματος, ἐν διπλόῃ φύσεων, Υἱὸν ἕνα Χριστὸν καταγγείλαντες.

**Θεοτοκίον.**

Ἰδεῖν οἱ ποθοῦντες τὰς αὐγάς, τῆς χάριτος τοῦ Πνεύματος, καὶ τὴν ἀνέσπερον θείαν ἔλλαμψιν, πηγῇ προσδράμωμεν τῇ τῆς χάριτος, τῇ Μητρὶ τοῦ κτίσαντος· ἐν αὐτῇ γὰρ ἅπαντα, τοῖς πιστοῖς χορηγεῖται τὰ βέλτιστα.

**Τῆς Μεγαλομάρτυρος. Ὠδὴ γ΄.**
*Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.*

Ὢ πῶς ἐν τῷ μέσῳ τοῦ σταδίου, ἀθλοῦσα ἡ Μάρτυς τοῦ Χριστοῦ, τὸν τύραννον ἐξέστησε, δι᾽ ἄκραν καρτερότητα· ἀνδρείως γὰρ ὑπήνεγκε, τὰ τῶν δεινῶν κολαστήρια.

Πανεύφημε Μάρτυς Εὐφημία, εὐφήμοις ἐν ᾄσμασιν ἀεί, τὴν μνήμην σου γεραίρομεν, τὴν σὴν πλουτοῦντες λάρνακα, τὸ λείψανόν σου φέρουσαν, τὸ ἱερὸν καὶ σεβάσμιον.

Ἀνδρείως κατέβαλες τὸν ὄφιν, τὸν μέγαν σεμνὴ τὸν νοητόν, δυναμωθεῖσα χάριτι, Πατρὸς Υἱοῦ καὶ Πνεύματος, τῆς ἀσυγχύτου φύσεως, καὶ τρισηλίου Θεότητος.

**Θεοτοκίον.**

Ὑμνήσωμεν πάντες κατὰ χρέος, Μαρίαν τὴν Δέσποιναν ἁγνήν, τὴν μόνην ἀειπάρθενον, αὕτη γὰρ τὸ κεφάλαιον, τῆς σωτηρίας γέγονε, ἡμῶν δι' ἄκραν καθαρότητα.

**Τοῦ Ὁσίου. Ὠδὴ ϛ΄. *Ἦχος ὁ αὐτός. Τὴν θείαν ταύτην.***

Ῥημάτων Πάτερ τῶν θείων σου, ἡ χάρις ὥσπερ μύρον οὐράνιον, τοὺς ἐν τῷ Ἄθωνι, χοροὺς ἀζύγων κατηύφρανε, καὶ πρὸς τὴν κληρουχίαν, τὴν ἄνω ἴθυνεν.

Ὁρῶν Χριστοῦ τὴν λαμπρότητα, ἐπόπτα τῶν ἀῤῥήτων Νικόδημε, νῦν ἐν τοῖς δώμασι, τοῖς οὐρανίοις ἀξίωσον, κἀμὲ φωτὸς ἀΰλου, γενέσθαι μέτοχον.

*Δόξα Πατρί ...*

Σοβῶν ἐχθροῦ τὴν κακότητα, ἀόκνοις σου πρὸς Κτίστην ἐντεύξεσι, καὶ νυχθημέροις σου, καμάτοις σῶφρον Νικόδημε, ὁσίων ἀνεδείχθης, τοῦ Ἄθω πρότυπον.

*Καὶ νῦν...* **Θεοτοκίον.**

Ἀνθρώπων πέλεις βοήθεια, σεπτὴ Παραμυθία καὶ στήριγμα, ἐν περιστάσεσι, δεινοῖς· διὸ ἀνυμνοῦντές σε, τὰς σὰς εὐεργεσίας, λαλοῦμεν ἅπασιν.

**Ἀπολυτίκια.**

**Τῆς Μεγαλομάρτυρος. *Ἦχος γ΄. Θείας πίστεως.***

Λίαν εὔφρανας τοὺς ὀρθοδόξους, καὶ κατῄσχυνας τοὺς κακοδόξους, Εὐφημία Χριστοῦ καλλιπάρθενε· τῆς γὰρ Τετάρτης Συνόδου ἐκύρωσας, ἃ οἱ Πατέρες καλῶς ἐδογμάτισαν. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Τοῦ Ὁσίου. *Ἦχος πλ.α΄. Τὸν συνάναρχον.***

Νικηφόρους ἀγῶνας κατὰ τοῦ δράκοντος, ἀσκητικῇ πολιτείᾳ, ἐν τοῖς ὁρίοις σοφέ, τῆς Μονῆς Βατοπαιδίου πόθῳ ἤγαγες, καὶ ἀρετῶν ὑ-

φηγητής, χρηματίσας πρὸς μονάς, Νικόδημε αἰωνίους, μετέστης καθικετεύων, Χριστὸν ὑπὲρ τῶν εὐφημούντων σε.

## Κοντάκια.

### Τῆς Μεγαλομάρτυρος. *Ἦχος β΄.*

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει, κατεβάλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου· ἀλλὰ καὶ νῦν, ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε, διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων, Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

### Τοῦ Ὁσίου. *Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ.*

Ὡς εὐσεβείας ὑποφήτην καὶ διδάσκαλον, καὶ θείας γνώσεως ἀσύλητον θησαύρισμα, ἀνυμνοῦμέν σε ἀγλάϊσμα μοναζόντων· ἀλλ᾽ ὡς γνώμων ἀκριβέστατος ἀσκήσεως, καθοδήγησον ἡμᾶς πρὸς βίον ἄληκτον, τοὺς κραυγάζοντας· Χαῖρε, πάτερ Νικόδημε.

**Καὶ τέλος Κοντάκιον «Τῇ Ὑπερμάχῳ»**

**Ἀποστολοευαγγέλιον λέγομεν**
**τῆς Μεγαλομάρτυρος** (Ζήτει τῇ δεκάτῃ ἕκτῃ Κυριακῇ)
**καὶ τοῦ Ὁσίου** (Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ Ἑβδομάδος).

**(Μόνον εἰς τὸ Κοιμητήριον: τοῦ Ὁσίου καὶ τῶν Κεκοιμημένων)**

***Κοινωνικόν·*** *Εἰς μνημόσυνον ...*